1. Οὐκ ὀλίγοι] Duo millia quingentos cecidisse, scribit Diodorus Sicul. Wass.

Ὅπλα] Id est: ἀσπίδας, quas a fugientibus abjectas, paullo post dicit. Xenophon II. Histor. Græc. p. 475. Ὅπλα ἐκτιοῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ, οἰσύϊνα, καὶ ταῦτα ἐλευκοῦντο. Sic ancilia ὅπλα apud Dionysium Halic. II. 71. et Plutarchum Num. pag. 125. Glossæ: Ancile, διϊπετὲς ὅπλον. Scholiastes Sophoclis ad Ajac. v. 575. σάκος, εὐδετέρως, ὅπλον, ἀσπίς. Plura dudum observarunt, et, Latinis etiam arma pro scutis dici, docuerunt alii. Duk.

5. μὲν om. d.
6. ἀναρρωθέντες d.
8. ὑπάγοιτο k.
9. τὴν ἄλλην σικελίαν B.G.K.
13. ἐβούλοντο K.
15. γὰρ om. L.e.
κατορθοῦντας A.B.D.F.K.c.g.
16. Νόσῳ τε γὰρ ἐκιέζοντο] Confer Diodorum XIV. pag. 434. a. Wass.
τε om. Q.
18. ἐν ᾗ] καθ' ἣν h.
καὶ τὸ χωρίον ἅμα] om. G.

cum Demosthenes discessum,

χωρίον ἅμα, ἐν ᾧ ἐστρατοπεδεύοντο, ἑλῶδες καὶ χαλεπὸν ἦν· τά τε ἄλλα ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο. τῷ οὖν Δημοσθένει οὐκ ἐδόκει ἔτι χρῆναι μένειν, ἀλλ' ἅπερ καὶ διανοηθεὶς ἐς τὰς Ἐπιπολὰς διακινδυνεῦσαι, ἐπειδὴ ἔσφαλτο, ἐξιέναι ἐψηφίζετο καὶ μὴ διατρίβειν, ἕως ἔτι τὸ πέλαγος οἷόν τε περαιοῦσθαι, καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν. καὶ τῇ πόλει ὠφελιμώτερον ἔφη εἶναι πρὸς τοὺς ἐν τῇ χώρᾳ σφῶν ἐπιτειχίζοντας τὸν πόλεμον ποιεῖσθαι ἢ Συρακοσίους, οὓς οὐκέτι ῥᾴδιον εἶναι χειρώσασθαι· οὐδ' αὖ ἄλλως χρήματα πολλὰ δαπανῶντας εἰκὸς εἶναι προσκαθῆσθαι. καὶ ὁ μὲν Δημοσθένης τοιαῦτα ἐγίγνωσκεν· * ὁ δὲ Νικίας ἐνόμιζε μὲν καὶ αὐτὸς πονηρὰ σφῶν τὰ πράγματα εἶναι, τῷ δὲ λόγῳ οὐκ ἐβούλετο αὐτὰ ἀσθενῆ ἀποδεικνύναι, οὐδ' ἐμφανῶς σφᾶς ψηφιζομένους μετὰ πολλῶν τὴν ἀναχώρησιν τοῖς πολεμίοις καταγγέλτους γίγνεσθαι· λαθεῖν γὰρ

48. Nicias perseverantiam suaderet;

2. Τά τε ἄλλα ὅτι ἀνέλπιστα αὐτοῖς ἐφαίνετο] καὶ ὅτι τὰ ἄλλα αὐτοῖς πάντα· οὐδεμίαν ἐλπίδα νίκης παρεῖχεν. 3. Ἀλλ' ἅπερ διανοηθεὶς] διενοήθη (φησί) μὴ διατρίβειν, ἀλλ' ἀπάγειν τὴν στρατιάν. 6. Καὶ τοῦ στρατεύματος ταῖς γοῦν ἐπελθούσαις ναυσὶ κρατεῖν] τὸ ἑξῆς, ἕως ἔτι οἷοί τε τοῦ πολεμίου στρατεύματος κρατεῖν. ἔμπροσθεν μὲν γὰρ ὑπὸ τῶν Συρακουσίων οἱ περὶ τὸν Νικίαν ἐν τῷ λιμένι κατεκέκλειντο κρατούμενοι, διὰ δὲ τὰς ἐπελθούσας μετὰ Δημοσθένους ναῦς οἷοί τε ἦσαν κρατεῖν. 7. Καὶ τῇ πόλει] τῶν Ἀθηναίων, 11. Προσκαθῆσθαι] ταῖς Συρακούσαις δηλονότι. 13. Πονηρὰ] ἀσθενῆ, ἐπισφαλῆ, ἐπικίνδυνα. 16. Καταγγέλτους] δήλους διὰ μηνυμάτων. Λαθεῖν

2. ἦν om. B.G.K.c.
ἄλλα ὅτι om. A.
3. μέλλειν g.
ἀλλὰ καίπερ A. correctus.
4. διακινδυνεῦσαι A.D.F.H.f.g. h. διακινδυνεῦσαι ἂν d. διακινδυνεύσειν i. vulgo διακινδύνευσεν.
5. ἐξιέναι A.D.F.H.L.N.O.P. Q.d.e.g.h.i.k. ἀπιέναι B.G.K. (illud est 7, 3. hoc 7, 48. extr.) vulgo διεξιέναι.
7. ταῖς om. K.
ἐπελθοῦσιν A.D.F.H.f.
ναυσὶ om. P.
8. Ὠφελιμώτερον] Huc respexit Justinus IV. 5. esse domi *graviora*, et forsitan infeliciora bella, in quæ servare hos urbis apparatus oporteat. Wass.
ἔφη εἶναι A.B.D.F.G.H.L.O. P.Q. c.d.e.f.g.h.i.k. ceteri εἶναι ἔφη.
10. ῥᾴων A.F.
13. πόνηρα A.

ἂν, ὁπότε βούλοιντο, τοῦτο ποιοῦντες πολλῷ ἧσσον. τὸ δέ τι καὶ τὰ τῶν πολεμίων, ἀφ' ὧν ἐπὶ πλέον ἢ οἱ ἄλλοι ἠσθάνετο αὐτῶν, ἐλπίδος τι ἔτι παρεῖχε πονηρότερα τῶν σφετέρων ἔσεσθαι, ἣν καρτερῶσι προσκαθήμενοι· χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν, ἄλλως τε καὶ ἐπὶ πλέον ἤδη ταῖς ὑπαρχούσαις ναυσὶ θαλασσοκρατούντων. καὶ ἦν γάρ τι καὶ ἐν ταῖς Συρακούσαις βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι, ἐπεκηρυκεύετο ὡς αὐτὸν καὶ οὐκ εἴα ἀπανίστασθαι. ἃ ἐπιστάμενος, τῷ μὲν ἔργῳ ἔτι ἐπ' ἀμφότερα ἔχων καὶ διασκοπῶν ἀνεῖχε, τῷ δ' ἐμφανεῖ τότε λόγῳ οὐκ ἔφη ἀπάξειν τὴν στρατιάν. εὖ

γὰρ ἂν] μετὰ γὰρ πολλῶν βουλόμενοι οὐ δυνήσεσθε (φησί) λαθεῖν, ἐπιχειρήσαντες ἀποπλεῦσαι. 7. Βουλόμενον τοῖς Ἀθηναίοις τὰ πράγματα ἐνδοῦναι] ἤγουν, βουλόμενον κυρίους γενέσθαι τοὺς Ἀθηναίους τῶν κατὰ τὰς Συρακούσας πραγμάτων. 8. Ἐπεκηρυκεύετο] διὰ κηρύκων ἐμήνυε. 10. Καὶ διασκοπῶν ἀνεῖχεν] ἤγουν διστάζων, εἴτε χρὴ μένειν εἴτε ἀπιέναι, εὐθεμιᾷ προστίθεσο γνώμῃ. τοῦτο γάρ ἐστι τὸ διασκοπῶν ἀνεῖχεν. 11. Ἀπάξειν] ἀπὸ τῶν Συ-

1. ἂν om. d.i.
τόδ' ἔτι A.B.D.F.Q.
2. καὶ τὰ] κατὰ d.i.
ἀφ' ὧν om. h.
ἢ οἱ ἄλλοι A.B.D.F.G.L.N.O. P.e.g.h.k. vulgo omittunt articulum.
3. αὐτῷ L.O.
ἐλπίδας τε B.K.b.c.f.h.
5. αὐτούς τε e.
ἐκτρυχῶσιν A.
8. τὰ om. K. τὰ πράγματα om. i.
καὶ ἐπεκηρυκεύετο N.
Ἐπεκηρυκεύετο ὡς αὐτὸν] Ἀσύνδετος est oratio, cui medetur copula καὶ, quam ante ἐπεκηρυκεύετο habet Cl. Ἐπεκηρυκεύεσθαι autem hic per κατάχρησιν dici de nunciis a privatis quibusdam clanculum missis, quod per διαγγέλους significare est infra cap. 73. recte monet Portus; qua significatione etiam paullo post cap. 49. eo utitur Thucydides. Nam alioqui ἐπεκηρυκεύεσθαι dicuntur, qui nomine publico κήρυκας et legatos mittunt. Ammonius: Ἐπεκηρυκεύεσθαι ἔλεγον τὸ περὶ συμβάσεως καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι. Adde Suidam in ἐπεκηρυκεύεται, et Harpocrationem in ἐπεκηρυκεία. Et sic Thucydides et alii ubique his vocabulis utuntur. Duk.
ὡς] πρὸς d.i.
κοὐκ K.
10. ἔργῳ om. G.
11. τότε] τῷ τε g.
εὖ] οὐ d.
Εὖ γὰρ εἰδέναι] Huc spectat Dio Chrysostomus Orat. LXXIII. pag. 634. Wass.

γὰρ εἰδέναι ὅτι Ἀθηναῖοι σφῶν ταῦτα οὐκ ἀποδέξονται, ὥστε μὴ αὐτῶν ψηφισαμένων ἀπελθεῖν. καὶ γὰρ οὐ τοὺς αὐτοὺς ψηφιεῖσθαί τε περὶ σφῶν αὐτῶν, καὶ τὰ πράγματα, ὥσπερ καὶ αὐτοὶ, ὁρῶντας καὶ οὐκ ἄλλων ἐπιτιμήσει ἀκούσαντας γνώσεσθαι, ἀλλ' ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι, ἐκ τούτων αὐτοὺς πείσεσθαι. τῶν τε παρόντων στρατιωτῶν πολλοὺς καὶ τοὺς πλείους ἔφη, οἳ νῦν βοῶσιν ὡς ἐν δεινοῖς ὄντες, ἐκεῖσε ἀφικομένους τἀναντία βοήσεσθαι, ὡς ὑπὸ χρημάτων καταπροδόντες οἱ στρατηγοὶ ἀπῆλθον. οὔκουν βούλεσθαι αὐτός γε, ἐπιστάμενος τὰς Ἀθηναίων φύσεις, ἐπ' αἰσχρᾷ τε αἰτίᾳ καὶ ἀδίκως ὑπ' Ἀθηναίων ἀπολέσθαι μᾶλλον ἢ ὑπὸ τῶν πολεμίων, εἰ δεῖ, κινδυνεύσας τοῦτο παθεῖν ἰδίᾳ. τά τε Συρακοσίων, ἔφη ὅμως ἔτι ἥσσω τῶν σφετέρων εἶναι· χρήμασι γὰρ αὐτοὺς ξενοτροφοῦντας, καὶ ἐν περιπολίοις ἅμα ἀναλίσκοντας, καὶ ναυτικὸν πολὺ ἔτι ἐνιαυτὸν ἤδη βόσκον-

ρακουσῶν δηλωτέον. 5. Εὖ λέγων] ἤγουν πιθανῶς λέγων. 8. Ἐκεῖσε] ἤγουν εἰς τὰς Ἀθήνας. 10. Οὔκουν βούλεσθαι] οὐ βούλεσθαι ἔφη ὁ Νικίας ὑπὸ Ἀθηναίων ἀπολέσθαι μόνος αὐτὸς ἀδίκως, ἀλλὰ, εἰ δεῖ πάντως ἀπολέσθαι, ὑπὸ

1. ὅτι ἀθηναῖοι B.D.F.G.H.K. N.Q.c.d.e.f.g.h.i. vulgo ὅτι οἱ ἀθηναῖοι.
σφῶν om. i.
2. μὴ ἀφ' αὐτῶν g.
3. αὐτῶν] Hoc facile caream.
4. ὁρῶντας οὐκ k.
ἄλλων καὶ ἐπιτιμήσει P.
5. ἀκούσαντες Q. ἀκούσοντας K. ἀκούοντας G.d.h.i. ἀκούωντος B.
Ἐξ ὧν ἄν τις εὖ λέγων διαβάλλοι] Confer, quæ III. 38. Cleonem dicentem inducit Thucydides. Duk.
εὖ om. I.
7. πλείστους f.
8. ἀφικνουμένους O.
τἀναντία B.h. ceteri τὰ ἐναντία.
10. γε] τε L.
11. τε] γε G.K. om. f.
14. ὁμοίως i.
ἔτι om. G.h.
καὶ χρήμασι γὰρ A.D.F.H.L. O.P.f.g.k. καὶ χρήμασι μὲν γὰρ N.
15. Περιπολίοις] Vid. Pollucem IX. 16. ubi, ἐν περιπολίοις τισὶν ἐλήφθη, quasi ex Nostro, citat. Wass. Vide ad VI. 45. Duk.
ἅμα ἀναλίσκοντες A.B.D.F.G. H.L.N.O.Q. f.g.i.k. vulgo ἅμα ἄλλα ἀναλίσκοντες.
16. Βόσκοντας] In Cod. Cass. adnotatum est: σημείωσαι βόσκοντας. Hoc eo pertinere, pu-

ς, τὰ μὲν ἀπορεῖν, τὰ δ' ἔτι ἀμηχανήσειν· ὀσχίλοις γὰρ τάλαντα ἤδη ἀναλωκέναι καὶ ἔτι πολλὰ προσοφείλειν, ἅ τε καὶ ὀτιαῦν ἐκλίπωσι τῆς νῦν παρασκευῆς μὴ διδόναι τροφὴν, φθερεῖσθαι αὐτῶν τὰ πράγματα, ἐπεισοδιακὰ μᾶλλον ἢ δι' ἀνάγκης, ὥσπερ τὰ σφέτερα, ἅ. τρίβειν οὖν ἔφη χρῆναι προσκαθημένους, καὶ μὴ χρήμασιν, ὡς πολὺ κρείσσους εἰσὶ, νικηθέντας ἀπιέναι.

Ὁ μὲν Νικίας τοσαῦτα λέγων ἰσχυρίζετο, αἰσθόμενος καὶ ἐν ταῖς Συρακούσαις ἀκριβῶς, καὶ τὴν τῶν χρημάτων ἀπορίαν, καὶ ὅτι ἦν αὐτόθι [που] τὸ βουλόμενον τοῖς Ἀ- 49. et, licet Eurymedon Demosthenis senten-

ῶν πολεμίων τοῦτο παθεῖν. 3. Τῆς νῦν παρασκευῆς] τῆς πολεμικῆς οἰκονομίας. 5. Ἐπεισοδιακὰ μᾶλλον] μισθοφόρων τοῖς Συρακουσίοις ὄντων, καὶ οὐχὶ δι' ἀνάγκην στρατευομένων πολιτῶν, ὥσπερ Ἀθηναίων. 6. Τρίβειν οὖν ἔφη χρῆναι] ἀντὶ τοῦ, διατρίβειν καὶ παρίλκειν. Καὶ μὴ χρήμασιν, ὡς πολὺ κρείσσους εἰσὶ] καὶ μὴ νομίζειν διὰ χρημάτων ἔνδειαν ἡττᾶσθαι. γράφεται,

to, quod Grammatici tradunt, βόσκειν proprie de pecoribus dici, quæ et βοσκήματα sunt Græcis. Ita Scholiastes Aristophanis ad Equit. v. 256. et ex eo Suidas in οἷς ἐγώ. Tamen etiam de hominibus usurpatur, sed sæpe cum contemtu quodam et contumelia, ut significet, eos pecoribus similes et abjectissimos esse. Eustathius ad Homeri Odyss. λ'. v. 363. Ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον, οἷά τε πολλοὺς Βόσκει γαῖα μέλαινα· Καλῶς, inquit, τὸ βόσκει, ὡς τῶν τοιούτων ἀνδρῶν ἀλογίστους ζώντων κατά τινα βοσκήματα. Et Scholiastes Aristoph. l. d. ubi Cleon ad judices dicit: οἷς ἐγὼ βόσκω, adnotat: πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις. Nec minus contumeliose in eadem fabula v. 1255. Agoracritum, de se dicentem: ἐν τῇ ἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην, perstringit Comicus. Add. Homer. Odyss. ρ'. v. 228. et Odyss. σ'. v. 363. Interdum tamen nihil in hac voce contumeliæ est: ut apud Homerum Odyss. ξ'. v. 325. Odyss. τ'. v. 294. et Hymn. in Apollin. v. 59. Dux.

2. τε recepi ex B.h.
ἀναλωκέναι A.B.D.F.H.K. e.f. g.k. vulgo ἀνηλωκέναι.
πολλὰ om. G.
3. καὶ ὅτι om. d.f.i.
ἐκλείπωσι L.O.P.d.e.i.
κατασκευῆς O.
4. φθαρεῖσθαι d.i.
αὐτῷ P.k.
6. χρῆναι om. c.d.i.
7. ὧν B.L.O.h. ᾧ K. οἷς Coraes ad Plutarch. 3. p. 421.
πολλοὶ d.
ἀπιέναι ἔτι K.f.h.
8. τοσαῦτα B.D.F.H.L.N.O. P.Q.d.e.f.g.k. vulgo ταῦτα.
λέγων om. O.
9. τὰ om. h.
10. που om. A.F.H.L.O.d.e.g. i.k.
τὸ om. K.

tiæ accederet, tamen, Nicia refragante, Athenienses cunctati in loco manebant.

θηναίοις γίγνεσθαι τὰ πράγματα, καὶ ἐπικηρυκευόμενον πρὸς αὐτὸν ὥστε μὴ ἀπανίστασθαι, καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον θαρσήσει κρατηθείς. ὁ δὲ Δημοσθένης περὶ μὲν τοῦ προσκαθῆσθαι οὐδ' ὁπωσοῦν ἐνεδέχετο· εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν ἄνευ Ἀθηναίων ψηφίσματος, ἀλλὰ τρίβειν αὐτούς, ἔφη χρῆναι ἢ ἐς τὴν Θάψον ἀναστάντας τοῦτο ποιεῖν ἢ ἐς τὴν Κατάνην, ὅθεν τῷ τε πεζῷ ἐπὶ πολλὰ τῆς χώρας ἐπιόντες θρέψονται πορθοῦντες τὰ τῶν πολεμίων, καὶ ἐκείνους βλάψουσι, ταῖς τε ναυσὶν ἐν πελάγει καὶ οὐκ ἐν στενοχωρίᾳ, ἢ πρὸς τῶν πολεμίων μᾶλλόν ἐστι, τοὺς ἀγῶνας ποιήσονται, ἀλλ' ἐν εὐρυχωρίᾳ, ἐν ᾗ τά τε τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔσται, καὶ ἀναχωρήσεις καὶ ἐπίπλους οὐκ ἐκ βραχέος καὶ περιγραπτοῦ ὁρμώμενοί τε καὶ καταίροντες ἕξουσι. τό τε ξύμπαν εἰπεῖν, οὐδενὶ τρόπῳ οἱ ἔφη ἀρέσκειν ἐν τῷ αὐτῷ ἔτι μένειν, ἀλλ' ὅτι τάχιστα ἤδη καὶ μὴ μέλλειν

χρήμασιν ὡς πολύ. 9. Τὰ τῶν πολεμίων] ἤγουν τοὺς πολεμίους. 12. Ἐν τούτῳ] τῷ καιρῷ δηλονότι.

2. μηδ' A.F.H.L.O.d.e.f.g.k.
ἀπανίστασθαι] δαπανήσασθαι D.
Καὶ ἅμα ταῖς γοῦν ναυσὶν ἢ πρότερον θαρσήσει κρατηθείς.] Hæc mihi ænigmata sunt. Interpretes suo quisque modo verterunt, sed ita, ut ex interpretationibus eorum non adpareat, unde ea pendere, aut qua ratione cum superioribus connecti posse, putaverint. Duk.
γοῦν] γ' ἂν D.F.H.g. γὰρ A.
3. ναυσὶν θαρρῶν ἢ B.h.
θαρσήσας correctus A. ἐθάρσησε B.h.
4. περὶ] πρὸς d.i.
προκαθῆσθαι A.K.Q. προκαθῖσθαι F.
Ὁπωσοῦν] Thomas Magister hoc Ἑλληνικὸν, non Ἀττικὸν, esse pronunciat. Est tamen rursus apud Thucydidem VIII. 90. Item in Isocrate ad Nicoclem non longe a principio, et Luciano Quom. conscrib. sit Histor. pag. 605. Duk.
5. δεῖ] δὴ F.
ἐπάγειν B.
7. τε om. L.e.
8. θρέψονται B.h. vulgo τρέψονται.
9. τὰ] τὰς A.D.F.H.L.O.P. f.g.k.
βλάψωσι g.
11. ἔστιν ὥσπερ νῦν τοὺς B.G.f.h.
12. χρήσιμα] χρήμασι f.
13. ἀναχώρησις B.
15. οἱ additum ex B.D.H.K. L.N.O.c.e.f.g.h.k.

ἐξανίστασθαι. καὶ ὁ Εὐρυμέδων αὐτῷ ταῦτα ξυνηγόρευεν. ἀντιλέγοντος δὲ τοῦ Νικίου, ὄκνος τις καὶ μέλλησις ἐνεγένετο, καὶ ἅμα ὑπόνοια μή τι καὶ πλέον εἰδὼς ὁ Νικίας ἰσχυρίζηται. καὶ οἱ μὲν Ἀθηναῖοι τούτῳ τῷ τρόπῳ διε-
5 μέλλησάν τε καὶ κατὰ χώραν ἔμενον.

Interim Sicanus redit Agrigento, infecta re;

Ὁ δὲ Γύλιππος καὶ ὁ Σικανὸς ἐν τούτῳ παρῆσαν ὡς τὰς Συρακούσας, ὁ μὲν Σικανὸς ἁμαρτὼν τοῦ Ἀκραγαντος (ἐν Γέλᾳ γὰρ ὄντος αὐτοῦ ἔτι ἡ τοῖς Συρακοσίοις

1. ἐξίστασθαι A.h.
ὁ om. i.
αὐτῷ] αὐτὰ i.
2. Μέλλησις ἐνεγένετο] Aristophanes Avibus v. 639. Καὶ μὴν μὰ τὸν Δί', οὐχὶ νυστάζειν ἔτι Ὥρα 'στὶν ἡμῖν, οὐδὲ ΜΕΛΛΟΝΙΚΙΑΝ. Plutarchus, cunctatorem dictum, ait, ob lentas moras in obsidione Pyli. vid. Suidam. Wass.
ἐγένετο B.D.F.H.d.f.g.h.i.
3. ὑπόνοιά τις N.
τι πλέον, omissa καὶ, g.
4. Ἰσχυρίζηται] Adnotat Stephanus, Vallam hic ἰσχυρίζεσθαι vertere *perstare*; quod cap. 48. verterat *asserere*; intelligendum autem hoc loco esse *perstare in sua sententia*: q. d. *firmum in sententia esse*, vel, *firmiter suam sententiam tueri*. Interpretes varie vertunt, modo *adfirmare*, modo *in sententia perseverare*. Certum est, in plerisque locis Thucydidis idem esse, quod Latinis, *firmiter adseverare, omni adseveratione adfirmare, pro certo adfirmare*. III. 44. Καὶ τοῦτο, ὃ μάλιστα Κλέων ἰσχυρίζεται ἐς τὸ λοιπὸν ξυμφέραν ἔσεσθαι. IV. 23. Ἰσχυρίζόμενοι, ὅτι δὴ εἴρητο, ἐὰν καὶ ἑτῶν παραβαλῇ, λελύσθαι τὰς σπονδάς. ubi Scholiastes, ἐπαρειδόμενοι, ὡς ἰσχυρὰν πάνυ προτείνοντες. IV. 68. Ἐδήλουν δὲ οὐδὲν ὡς ἴσασι τὰ πρασσόμενα, ἀλλ' ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο. quod Valla ibi, *se roborare*, Stephanus *pertinaciter obsistere*; Portus et Acacius, itidem, ut hic, *in sententia perseverare*, interpretantur: quamquam Stephanus monet, etiam paullo aliter verti posse; nempe illa significatione, quam non modo locis illis, quæ posui, sed etiam V. 26. et VI. 55. habet: quam retinet compositum διϊσχυρίζομαι. Dux.
5. ἔμενον] Exit h.
6. Σικανὸς] Vide Diodorum Sicul. XIII. p. 336. b. Wass.
8. Ἡ τοῖς Συρακοσίοις στάσις] Ἐκπίπτειν saepe est, *patria ejici, expelli*. Thucyd. III. 68. Μεγαρέων ἀνδράσι κατὰ στάσιν ἐκπεπτωκόσι. Et VI. 4. ἀπὸ Σαμίων ἐκπίπτουσι. Hanc significationem sequutus Acacius, vertit: *factio*, quæ ad Syracusanos rem trahebat, *ejecta fuit*. Sed eam non admittunt verba ἐς φιλίαν. Tamen mire dictum est, ἡ τοῖς Συρακουσίοις στάσις, pro, seditio *propter Syracusanos*: cujus quæ sit ratio, mihi non facile dictu est. Nisi forte substantivo στάσις da-

Gylippus vero cum alio magno exercitu; simul Peloponnesii, qui vere profecti erant in navibus onerariis, adsunt. Quorum adventu rursus ad hostem aggrediendum Syracusani excitantur. Athenienses autem, Nicia non amplius resistente, ad discessum se parantes, forte lunæ defectu cum plerique, tum impri-

στάσις ἐς φίλια ἐξεπεπτώκει)· ὁ δὲ Γύλιππος ἄλλην τε στρατιὰν πολλὴν ἔχων ἦλθεν ἀπὸ τῆς Σικελίας, καὶ τοὺς ἐκ τῆς Πελοποννήσου τοῦ ἦρος ἐν ταῖς ὁλκάσιν ὁπλίτας ἀποσταλέντας, ἀφικομένους ἀπὸ τῆς Λιβύης ἐς Σελινοῦντα. ἀπενεχθέντες γὰρ ἐς Λιβύην, καὶ δόντων Κυρηναίων τριήρεις δύο καὶ τοῦ πλοῦ ἡγεμόνας, καὶ ἐν τῷ παράπλῳ Εὐεσπερίτεις πολιορκουμένοις ὑπὸ Λιβύων ξυμμαχήσαντες καὶ νικήσαντες τοὺς Λίβυς, καὶ αὐτόθεν παραπλεύσαντες ἐς Νέαν πόλιν, Καρχηδονιακὸν ἐμπόριον, ὅθεν πρὸς Σικελίαν ἐλάχιστον δυοῖν ἡμερῶν καὶ νυκτὸς πλοῦν ἀπέχει, καὶ ἀπ' αὐτοῦ περαιωθέντες, ἀφίκοντο ἐς Σελινοῦντα. καὶ οἱ μὲν Συρακόσιοι εὐθὺς αὐτῶν ἐλθόντων παρεσκευάζοντο ὡς ἐπιθησόμενοι κατ' ἀμφότερα αὖθις τοῖς Ἀθηναίοις, καὶ ναυσὶ καὶ πεζῷ· οἱ δὲ τῶν Ἀθηναίων στρατηγοὶ ὁρῶντες στρατιάν τε ἄλλην προσγε-

tivum verbi στασιάζειν addidit Thucydides, quemadmodum alibi substantivis quibusdam dativos verborum cognatorum, de quo dictum est ad V. 46. ut hæc sit sententia: οἱ τοῖς τὰ τῶν Συρακουσίων φρονοῦσι στασιάσαντες διηλλάγησαν αὐτοῖς. Duk.

1. φίλια A.B.D.F.H.K.d.g. ceteri φιλίαν.

γύλιππος πολλὴν ἄλλην d.f.i.

τε om. B.g.

2. ἔχων πολλὴν B.

ἦλθεν om. G. K. Potest deesse salva sententia. Nam hæc pendere possunt ab illo quod est in principio capitis, παρῆσαν. Duk.

ἀπὸ σικελίας g.

3. ἐκ τῆς om. Q. τῆς om. e.

ἀποσταλέντας ὁπλίτας d.f.i.

σελινουντίους H.

5. ἀπενεχθέντων F.H.L.N.O.P. e.g.k. ἀπαχθέντων D.

6. πλοῦ γενομένου ἡγεμόνας K.

7. εὐεσπερείταις A.F.H. εὐεσπαρίταις Q. ἑσπερίταις K.

Εὐεσπερίταις] Vide Stephanum de Urbib. Wass. E Stephano in Ἑσπερὶς et Εὐεσπερίδες patet, nihil interesse inter Εὐεσπερίτας et Ἑσπερίτας. Εὐεσπερίτας memorat Pausanias IV. 26. ubi de his agunt Sylburgius et Kuhnius. Add. Interpretes Stephani. Duk.

λίβυας f.

9. νεάπολιν c.

καρχηδονιακὸν L.O.g.

10. ὅθεν καὶ πρὸς d.i.

δύο A.D.F.H.P.Q.d.e.k. δυοῖν K.c.

11. πλοῦν B. ceteri πλοῦς, g. quidem ante illa καὶ νυκτός.

γεγραμμένην αὐτοῖς, καὶ τὰ ἑαυτῶν ἅμα οὐκ ἐπὶ τὸ βέλτιον χωροῦντα ἀλλὰ καθ' ἡμέραν τοῖς πᾶσι χαλεπώτερον ἴσχοντα, μάλιστα δὲ τῇ ἀσθενείᾳ τῶν ἀνθρώπων πιεζόμενα, μετεμέλοντό τε πρότερον οὐκ ἀναστάντες, καὶ ὡς αὐτοῖς οὐδὲ ὁ Νικίας ἔτι ὁμοίως ἠναντιοῦτο, ἀλλ' ἢ μὴ φανερῶς γε ἀξιῶν ψηφίζεσθαι, προεῖπον, ὡς ἡδύναντο ἀδηλότατα, ἔκπλουν ἐκ τοῦ στρατοπέδου πᾶσι, καὶ παρασκευάσασθαι, ὅταν τις σημήνῃ. καὶ μελλόντων αὐτῶν, ἐπειδὴ ἑτοῖμα ἦν, ἀποπλεῖν, ἡ σελήνη ἐκλείπει· ἐτύγχανε γὰρ πανσέληνος οὖσα. καὶ οἱ Ἀθηναῖοι οἵ τε πλείους ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγούς, ἐνθύμιον ποιούμενοι, καὶ Νικίας (ἦν γάρ τι καὶ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος) οὐδ' ἂν διαβου-

mis Nicias, adeo terrentur, ut ante diem vicesimum septimum abire religioni habeant.

1. Αὐτοῖς] ἤγουν τοῖς Συρακουσίοις. 2. Τοῖς πᾶσι] κατὰ πάντα. 9. Ἑτοῖμα ἦν, ἀποπλεῖν] ἕτοιμα ἦν τὰ κατὰ τὸν ἀπόπλουν. 11. Ἐνθύμιον ποιούμενοι] ἀποδεισιδαιμονήσαντες, ἢ ἐκλογισάμενοι. κατὰ νοῦν σχόντες τὸ τῆς σελήνης. 13. Καὶ τῷ τοιούτῳ προσκείμενος] τῷ τοιούτῳ (φησὶν) εἴδει τοῦ

1. ἅμα] μᾶλλον ἅμα G.
3. ἰσχόντα K.
μᾶλλον f.i.
4. μετέμελον τότε f.
5. ἠναντιοῦτο ἄλλο εἰ μὴ A.B.D. F.H.L.N.O.P.Q. e.g.k. ἄλλο. ἠναντιοῦτο εἰ μὴ i.
6. ἀξιῶν μὴ ψηφίζεσθαι A.B.D. F.H.L.O.P.d.e.g.i.k.
8. σημαίνει K. σημαίνῃ k.
9. Ἡ σελήνη ἐκλείπει] Ἐκλείπειν verbum tam de Luna, quam Solis defectu dicunt omnes Graeci. Sed nomen, ἔκλειψις, veteres raro de Luna, immo de Sole tantum, dixisse, scribit Scaliger ad Tibullum I. 8. 19. Aristoteles tamen II. Meteorolog. 8. τὰς ἐκλείψεις τῆς σελήνης dicit, et post eum Polybius V. 78. Plutarchus in libro de facie in orbe Lunae, plus semel, et Diogenes Laërtius Procem. §. 2. De tempore hujus defectus Lunae agit Petavius IX. de Doctr. Tempor. 44. et X. 28. Duk.
11. Ἐνθύμιον ποιούμενοι] Vid. supra ad cap. 18. Duk.
12. τι] τοι Q.
Θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος] Dissimile Periclis ingenium in simili ostento refert Plutarchus Pericl. pag. 171. Wass. Plutarchus in Nicia p. 525. Ed. Francof. Σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος, ὃς φησι Θουκυδίδης. Descripsit etiam, Thucydide non nominato, Pollux I. 20. De significatione vocis θειασμὸς in hoc loco agit Stephanus in Thesauro. Adde Suidam in θειασμός. Duk.

λεύσασθαι ἔτι ἔφη, πρὶν, ὡς οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι, ὅπως ἂν πρότερον κινηθείη. καὶ τοῖς μὲν Ἀθηναίοις μελλήσασι διὰ τοῦτο ἡ μονὴ ἐγεγένητο.

51. Quod ubi Syracusani rescivere, multo etiam acrius instituerunt, ut eo ipso loco Athenienses conficerent. Et primo quidem die muros Athenieusium oppugnant, et

Οἱ δὲ Συρακόσιοι καὶ αὐτοὶ τοῦτο πυθόμενοι, πολλῷ μᾶλλον ἐγηγερμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρεισσόνων εἶναι σφῶν μήτε ταῖς ναυσὶ μήτε τῷ πεζῷ (οὐ γὰρ ἂν τὸν ἔκπλουν ἐπιβουλεῦσαι) καὶ ἅμα οὐ βουλόμενοι αὐτοὺς ἄλλοσέ ποι τῆς Σικελίας καθεζομένους χαλεπωτέρους εἶναι προσπολεμεῖν, ἀλλ' αὐτοῦ ὡς τάχιστα, καὶ ἐν ᾧ σφίσι ξυμφέρει, ἀναγκάσαι αὐτοὺς ναυμαχεῖν. τὰς οὖν ναῦς ἐπλήρουν, καὶ ἀνεπειρῶντο ἡμέρας ὅσαι αὐτοῖς ἐδόκουν

θειασμοῦ προσέχων, τὸ παραφυλάττειν τὰς ἐκλείψεις καὶ τὰ οὐράνια. 1. Πρὶν ἃς οἱ μάντεις] γράφεται, πρὶν ὡς οἱ μάντεις. 5. Μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων] ἀντὶ τοῦ τοὺς Ἀθηναίους φεύγειν δηλονότι. 7. Σφῶν] τῶν Συρακουσίων. 9. Χαλεπώτερους] δυσεκιχειρήτους. 12. Ἐπλήρουν] ἀνδρῶν δηλονότι. Καὶ ἀνεπειρῶντο] γράφεται ἀνεπαύοντο.

1. ὡς A.D.F.H.L.O.Q.d.e.g.i.k. cum Tusano: ἃς ὡς B. vulgo ἃς.

Οἱ μάντεις ἐξηγοῦντο] Ἐξηγεῖσθαι, ἐξήγησις, et ἐξηγητὴς propria esse vocabula de cerimoniarum, portentorum, et prodigiorum interpretibus, ostendit Hemsterhusius ad Pollucem VIII. 124. Scholiastes Sophocl. Ajac. 319. ἡ ἐξήγησις ἐπὶ θείων ἑρμηνεία ἐπὶ τῶν τυχόντων. Add. Casaubon. ad Theophrasti Charact. XVII. Quod de ter novenis diebus dicit Thucydides, exponit Plutarchus in Nicia. Duk.

διεξηγοῦντο e.

τρεῖς A.L.O.k.

5. ἐγηγερμέναι] ἐτηρμένοι B.K. c.f.

7. σφῶν τε μήτε B.

ταῖς om. A.D.F.H.L.O.P.Q. d.e.f.g.i.k.

τῷ om. d.f.

9. τῃ e.

10. καὶ ἐν ᾧ] κεῳ K.

11. συμφέρει K.

12. ἀνεπαύοντο B.D.F.

Ἀνεπειρῶντο] Sic omnino reponendum est pro ἀνεπαύοντο, hoc est, ἐμελέτων, vel ταῖς ἀναπείραις ἐγύμναζον. Virg. Dum *tentat* sese, et Sallust. tela *tentare*, intendere. Nam, si τὰς ναῦς ἐπλήρουν, quare aliquot dies nihil agendo consumerent? Noster VII. 7. οἵ τε Συρακούσιοι ναυτικὸν ἐπλήρουν, καὶ ἀνεπειρῶντο. Firmant Schol. et Gr. Wass.

ὅσας B.G.

ἱκανὰ εἶναι. ἐπειδὴ δὲ καιρὸς ἦν, τῇ μὲν προτεραίᾳ πρὸς τὰ τείχη τῶν Ἀθηναίων προσέβαλλον, καὶ ἐπεξελθόντος μέρους τινὸς οὐ πολλοῦ καὶ τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων κατά τινας πύλας, ἀπολαμβάνουσί τε τῶν ὁπλιτῶν τι-
5 νὰς καὶ τρεψάμενοι καταδιώκουσιν· οὔσης δὲ στενῆς τῆς ἐσόδου, οἱ Ἀθηναῖοι ἵππους τε ἑβδομήκοντα ἀπολλύασι καὶ τῶν ὁπλιτῶν οὐ πολλούς. * καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀπεχώρησεν ἡ στρατιὰ τῶν Συρακοσίων· τῇ δ' ὑστεραίᾳ ταῖς τε ναυσὶν ἐπλέουσιν, οὔσαις ἓξ καὶ ἑβδομήκοντα,
10 καὶ τῷ πεζῷ ἅμα πρὸς τὰ τείχη ἐχώρουν. οἱ δ' Ἀθηναῖοι ἀνταπῆγον ναυσὶν ἓξ καὶ ὀγδοήκοντα, καὶ προσμίξαντες ἐναυμάχουν. καὶ τὸν Εὐρυμέδοντα, ἔχοντα τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων, καὶ βουλόμενον περικλῆσασθαι τὰς ναῦς τῶν ἐναντίων, καὶ ἐπεξαγαγόντα τῷ πλῷ
15 πρὸς τὴν γῆν μᾶλλον, νικήσαντες οἱ Συρακόσιοι καὶ οἱ

propugnatorum non multos interficiunt;

52. altero autem non solum pedestri exercitu murum, sed etiam navibus septuaginta sex hostem invadunt, et prœlio navali vincunt Eurymedonte occiso.

1. Τῇ μὲν προτεραίᾳ] καθ' ἣν δηλονότι ἐκινήθησαν. 4. Ἀπολαμβάνουσί τε] ἤγουν ἀπωκόπτουσί τινας τῶν ὁπλιτῶν τῶν Ἀθηναίων. 10. Πρὸς τὰ τείχη] τῶν Ἀθηναίων δηλονότι.

1. ἱκανὰς G.
εἶναι om. L.O.
Τῇ μὲν προτεραίᾳ] Plerique MSS. τρτέρᾳ. Permutantur hæc etiam V. 75. ubi quædam dixi. Hic tamen non temere a recepta scriptura recedendum, putem. Lucianus I. Ver. Hist. p. 652. γενομένης δὲ ἐκκλησίας, τῇ προτεραίᾳ μὲν ἀδὲν παρέλυσαν τῆς ὀργῆς· τῇ ὑστεραίᾳ δὲ μετέγνωσαν. Quod videtur e Thucydidis III. 36. sumtum. Add. huc quæ adnotantur ad cap. 11. hujus libri. Duk.
τρτέρᾳ A.F.H.K.L.O.P.Q.d.e.g.i.k.
2. προσέβαλον f.
3. καὶ τῶν—ὁπλιτῶν om. B. τῶν om. G.c.d.e.i. κατὰ—ὁπλιτῶν om. O.
4. ὑπολαμβάνουσί H.
5. στρεψάμενοι K.
διώκουσιν e.
6. ἐσόδου B.G.K.c.f. vulgo ἐφόδου.
ἀπολλύασι K. ἀπολλύουσι Q. vulgo ἀπολλύουσι.
7. τῶν om. e.
8. ὑστέρᾳ Q.
9. τε om. L.O.P.g.k.
10. πρὸς τῷ τείχει A.B. πρὸς τείχη K.
11. ὀγδοήκοντα] ἑβδομήκοντα g.
13. περικλῆσασθαι D.F.H.K.c.g.
14. ἐπεξάγοντα B. ἐξάγοντα D.F.H.L.O.P.Q.d.e.g.k.
ἐξαγαγόντα N.i.
πλοῖοι A.B.

ξύμμαχοι τὸ μέσον πρῶτον τῶν Ἀθηναίων, ἀπολαμβάνουσι κἀκεῖνον ἐν τῷ κοίλῳ καὶ μυχῷ τοῦ λιμένος, καὶ αὐτόν τε διαφθείρουσι καὶ τὰς μετ' αὐτοῦ ναῦς ἐπισπομένας· ἔπειτα δὲ καὶ τὰς πάσας ναῦς ἤδη τῶν Ἀθηναίων κατεδίωκόν τε καὶ ἐξεώθουν ἐς τὴν γῆν. * ὁ δὲ Γύλιππος ὁρῶν τὰς ναῦς τῶν πολεμίων νικωμένας καὶ ἔξω τῶν σταυρωμάτων καὶ τοῦ ἑαυτῶν στρατοπέδου καταφερομένας, βουλόμενος διαφθείρειν τοὺς ἐκβαίνοντας καὶ τὰς ναῦς ῥᾷον τοὺς Συρακοσίους ἀφέλκειν τῆς γῆς φιλίας οὔσης, παρεβοήθει ἐπὶ τὴν χηλὴν μέρος τι ἔχων τῆς στρατιᾶς. καὶ αὐτοὺς οἱ Τυρσηνοὶ (οὗτοι γὰρ ἐφύλασσον τοῖς Ἀθηναίοις ταύτῃ) ὁρῶντες ἀτάκτως προσφερομένους, ἐπεκβοηθήσαντες καὶ προσπεσόντες τοῖς πρώτοις τρέπουσι, καὶ ἐσβάλλουσιν ἐς τὴν λίμνην τὴν Λυσιμέλειαν καλουμένην. ὕστερον δὲ πλείονος ἤδη τοῦ στρατεύματος παρόντος τῶν Συρακοσίων καὶ ξυμμάχων, καὶ οἱ Ἀθηναῖοι ἐπιβοηθήσαντες, καὶ δείσαντες περὶ ταῖς ναυσὶν, ἐς μάχην τε κατέστησαν πρὸς αὐτοὺς καὶ νικήσαντες ἐπεδίωξαν, καὶ

53. Hoc prœlium aliud certamen excipit inter copias pedestres, quoniam Gylippus cum suis ad littus et portus crepidinem festinat. Ibi primum Tyrseni, tum ipsi Athenienses, eorum impetum repellunt, et plurimas naves servant. Sed octodecim

8. Τοὺς ἐκβαίνοντας] ἀπὸ τῶν νεῶν δηλονότι. 15. Παρόντος] ἤγουν προσγεγενημένου.

1. τῶν ἀθηναίων πρῶτον B.
2. κοίλῳ μυχῷ e.
Καὶ μυχῷ τοῦ λιμένος] Suidas: Μύχος, ἢ μυχὸς, ὁ ἐνδότατος τόπος. Thucydides VII. 4. ἐκ μυχοῦ τοῦ λιμένος. Pollux I. 102. Ἔστι δέ τις καὶ χηλὴ λιμένος, καὶ στόμα, καὶ μυχός. Et rursus IX. 28. λιμένος μυχός. Hæc omnia sunt Thucydidea. Dux.
3. Διαφθείρουσι] In Dascone sinu confossus Eurymedon. Diodorus Sic. XIII. pag. 337. d. et XXX. naves incenduntur. Justinus IV. 5. Wass.
καὶ μετ' L.O.P.i.
ἐπισκωμένας i.
4. δὲ om. L.O.k.
τὰς om. i.
5. ἐξέθουν B.K.P.Q.e.
6. πολεμίων] ἐναντίων Q.d.i.
8. βουλομένας A.
11. τοὺς ἀθηναίους K.
12. ταύτῃ om. A.D.F.H.L.N. O.Q.d.e.g.i.k.
ἀπεκβοηθήσαντες D.g. ἐκβοήσαντες Q.
14. λυσικέλειαν g.
15. πλείονας A.
16. καὶ τῶν ξυμμάχων O.
17. καὶ δείσαντες om. e.
18. ἀπεδίωξαν D.Q.g.

ὁπλίτας τε οὐ πολλοὺς ἀπέκτειναν, καὶ τὰς ναῦς τὰς μὲν πολλὰς διέσωσάν τε καὶ ζυνήγαγον κατὰ τὸ στρατόπεδον, δυοῖν δὲ δεούσας εἴκοσιν οἱ Συρακόσιοι καὶ οἱ ζύμμαχοι ἔλαβον αὐτῶν, καὶ τοὺς ἄνδρας πάντας ἀπέκτειναν. καὶ ἐπὶ τὰς λοιπὰς, ἐμπρῆσαι βουλόμενοι, ὁλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες (ἦν γὰρ ἐπὶ τοὺς Ἀθηναίους ὁ ἄνεμος οὖριος) ἀφεῖσαν τὴν ναῦν, πῦρ ἐμβαλόντες. καὶ οἱ Ἀθηναῖοι δείσαντες περὶ ταῖς ναυσὶν ἀντεμηχανήσαντό τε σβεστήρια κωλύματα, καὶ παύσαντες τὴν φλόγα καὶ τὸ μὴ προσελθεῖν ἐγγὺς τὴν ὁλκάδα τοῦ κινδύνου ἀπηλλάγησαν. * μετὰ δὲ τοῦτο Συρακόσιοι μὲν τῆς τε ναυμαχίας τροπαῖον ἔστησαν καὶ τῆς ἄνω τῆς πρὸς τῷ τείχει ἀπολήψεως τῶν ὁπλιτῶν, ὅθεν καὶ τοὺς ἵππους ἔλαβον, Ἀθηναῖοι δὲ ἥς τε οἱ Τυρσηνοὶ τροπῆς ἐποιήσαντο τῶν πεζῶν ἐς τὴν λίμνην, καὶ ἧς αὐτοὶ τῷ ἄλλῳ στρατοπέδῳ.

naves Syracusani capiunt, et classiarios nantasque necant omnes.

54. Quibus rebus gestis, utrimque ponuntur tropæa, a Syracusanis ob navalem victoriam, ab Atheniensibus ob fusum terra hostem.

Γεγενημένης δὲ τῆς νίκης τοῖς Συρακοσίοις λαμπρᾶς

55. Summa de-

4. Πάντας ἀπέκτειναν] οἱ Συρακούσιοι δηλονότι. 13. Τῶν ὁπλιτῶν] τῶν Ἀθηναίων δηλονότι. 15. Τῶν πεζῶν] τῶν Συρακουσίων.

1. Ὁπλίτας τε πολλοὺς ἀπέκτειναν] Lectionem Codd. MSS. οὐ πολλοὺς confirmat illud Diodori XIII. pag. 338. b. ἀπώλοντο δὲ τῶν μὲν Συρακουσίων ὀλίγοι. Wass.

οὐ πολλοὺς A.B.D.G.H.K.L. O.P.Q.c.f.i. vulgo omittunt negationem.

2. μὲν om. γρ. B.

3. δὲ δεούσας B. cum Valla: δὲ οὖσας H. δεούσαις f. vulgo δεούσας.

οἱ B. et Valla, ceteri ἃς οἱ.

4. ἔλαβον] εἷλον e.

5. βουλόμενοι ἐμπρῆσαι B.

6. Κληματίδων] Hesychius: Κληματίδες αἱ ἐκ τῶν κλημάτων δέσμαι. Pollux VII. 109. Καὶ τῶν μὲν καυσίμων κληματίδες, καὶ κορμοί. ubi vid. Jungermannum. Duk.

7. ὁ om. K.

9. τε om. K.

σβετήρια B.

10. τὴν] τήν τε B.

12. συρακ. B. ceteri οἱ συρακ.

τε om. Q.c.d.

13. τὰ τείχη Q.

ἀπολείψεως A.B.

15. Τροπῆς] Athenienses militum haud minus duo millia amiserunt. Diodor. 338. b. Wass.

hinc in castris Atheniensium tristitia obtinebat, cum præter expectationem etiam navali prœlio, etsi navium numero superiores, victi essent.

ἤδη καὶ τοῦ ναυτικοῦ (πρότερον μὲν γὰρ ἐφοβοῦντο τὰς μετὰ τοῦ Δημοσθένους ναῦς ἐπελθούσας), οἱ μὲν Ἀθηναῖοι ἐν παντὶ δὴ ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν, πολὺ δὲ μείζων ἔτι τῆς στρατείας ὁ μετάμελος. πόλεσι γὰρ ταύταις μόναις ἤδη ὁμοιοτρόποις ἐπελθόντες, δημοκρατουμέναις τε ὥσπερ καὶ αὐτοὶ, καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἐχούσαις, οὐ δυνάμενοι ἐπενεγκεῖν οὔτε ἐκ πολιτείας τι μεταβολῆς τὸ διάφορον αὐτοῖς, ᾧ προσήγοντο ἂν, οὔτ' ἐκ παρασκευῆς πολλῷ κρείσσους ὄντες, σφαλλόμενοι δὲ τὰ πλείω, τά τε πρὸ αὐτῶν ἠπόρουν, καὶ ἐπειδή γε καὶ ταῖς ναυσὶν ἐκρατήθησαν, ὃ οὐκ ἂν ᾤοντο, πολλῷ δὴ μᾶλλον ἔτι. * οἱ δὲ Συρακόσιοι τόν τε λιμένα εὐθὺς παρέπλεον ἀδεῶς, καὶ τὸ στόμα αὐτοῦ διενοοῦντο

56. At Syracusani, non

1. Πρότερον μὲν γὰρ] ὁ μὲν σύνδεσμος περιττός. 7. Οὐ δυνάμενοι ἐπενεγκεῖν] οὐ δυνάμενοι αὐτοὺς προσαγαγέσθαι καὶ ὑποχειρίους ποιῆσαι, οὔτε διὰ τοῦ μεταβάλλειν αὐτῶν τὴν πολιτείαν, οἷον στάσιν ἐμβαλόντες ἢ ὀλιγαρχίαν παρ' αὐτοῖς ἐργασάμενοι. 9. Πολλῷ κρείσσους] λείπει τὸ ὄντες.

1. ἤδη καὶ τοῦ A.D.F.H.L.O. d.e.f.g.i.k. ceteri omittunt καί.
2. μετὰ om. K. τοῦ om. g.
3. δὴ] ἤδη B.
αὐτῆς L.
5. μόναις ταύταις g.
ὁμοιοτρόποις B.D.F.H.K.L.N. O.P.b.c.d.e.g.i.k. ὁμοιοτρόπαις A. vulgo ὁμοιοτρόπως.
6. ναυσὶ καὶ ἵπποις D.F.H.L. O.Q.d.e.f.g.i.k.
Καὶ ναῦς καὶ ἵππους καὶ μεγέθη ἔχούσαις] Quidam MSS. ναυσὶ, καὶ ἵπποις, καὶ μεγέθει. Hæc scriptura non videtur posse stare, nisi simul pro ἐχούσαις legatur ἰσχυούσαις. Sane Thucydides crebro hoc vocabulo utitur cum dativo. I. 2. Οὔτε μεγέθει πόλεων ἴσχυον, οὔτε τῇ ἄλλῃ παρασκευῇ. III. 46. Ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε. Et III. 104. Πολυκράτης, ὁ Σαμίων τύραννος, ἰσχύσας τινὰ χρόνον ναυτικῷ. Et magis etiam extollitur potentia civitatum, si dicantur ναυσὶ, καὶ ἵπποις, καὶ μεγέθει ἰσχύειν, quam si aliquanto frigidius dicas, eas ναῦς, καὶ ἵππους, καὶ μεγέθη ἔχειν. Sed nihil muto, ac tantum conjecturam in medium profero. Duk.
7. μεγέθει A.D.F.H.d.f.g.i.k.
8. προσηγάγοντο Q.
9. ὄντες addidi ex B. sed nominativo haud scio an præstiterit accusativus.
10. σφαλόμενοι G.
πρὸς B.
11. γε καὶ ταῖς A.B.D.F.G.H. L.O.c.f.g.i. ceteri om. καί.
12. ἔτι A.B.D.F.H.L.O.Q. d.e.g.i.k. ceteri ἠθύμουν.
δὲ] τε G.

πλήρεν, ὅπως μηκέτι, μηδ' εἰ βούλοιντο, λάθοιεν αὐτοὺς οἱ Ἀθηναῖοι ἐκπλεύσαντες. οὐ γὰρ περὶ τοῦ αὐτοὶ σωθῆναι μόνον ἔτι τὴν ἐπιμέλειαν ἐποιοῦντο, ἀλλὰ καὶ ὅπως ἐκείνους κωλύσουσι, νομίζοντες ὅπερ ἦν, ἀπό τε τῶν πα-
5 ρόντων πολὺ σφῶν καθυπέρτερα τὰ πράγματα εἶναι, καὶ εἰ δύναιντο κρατῆσαι Ἀθηναίων τε καὶ τῶν ξυμμάχων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, καλὸν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι· τούς τε γὰρ ἄλλους Ἕλληνας εὐθὺς τοὺς μὲν ἐλευθεροῦσθαι, τοὺς δὲ φόβου
10 ἀπολύεσθαι (οὐ γὰρ ἔτι δυνατὴν ἔσεσθαι τὴν ὑπόλοιπον Ἀθηναίων δύναμιν τὸν ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν,) καὶ αὐτοὶ δόξαντες αὐτῶν αἴτιοι εἶναι ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ ὑπὸ τῶν ἔπειτα πολὺ θαυμασθήσεσθαι. καὶ ἦν δὲ ἄξιος ὁ ἀγὼν κατά τε ταῦτα καὶ
15 ὅτι οὐχὶ Ἀθηναίων μόνον περιεγίγνοντο, ἀλλὰ καὶ τῶν ἄλλων πολλῶν ξυμμάχων, καὶ οὐδ' αὐτοὶ αὖ μόνον, ἀλλὰ καὶ μετὰ τῶν ξυμβοηθησάντων σφίσιν, ἡγεμόνες τε γενόμενοι μετὰ Κορινθίων καὶ Λακεδαιμονίων, καὶ τὴν σφετέραν πόλιν ἐμπαρασχόντες προκινδυνεῦσαί τε, καὶ

amplius de sua salute dimicandum esse rati, sed quomodo Athenienses interciperent, ostium portus clendere statuebant; speranteo, summam inde apud omnes Graecos gloriam se adepturos, quandoquidem ipsi suam urbem periculo objecissent, et maximum navium numerum suppeditassent.

5. Σφῶν] τῶν Ἀθηναίων. 11. Τὸν ὕστερον ἐπενεχθησόμενον πόλεμον ἐνεγκεῖν] ἤγουν ἀντισχεῖν πρὸς τὸν ὕστερον πόλεμον δέξασθαι. 12. Αὐτῶν] ἤγουν τῆς τε ἐλευθερίας τῶν Ἑλλήνων καὶ τοῦ ἀπαλλαγῆναι τοῦ φόβου.

1. κλήσεν D.F.H.K.c.g.
2. αὐτοῦ A.D.F.H.d.g.
ἠσσωθῆναι A. ἠσσηθῆναι e.k. μὴ ἠσσηθῆναι L.O.P.
3. ἔτι om. D.g.
5. τὰ om. B.K.
7. Ἐς τοὺς Ἕλληνας] Cur hic praecipue Graeci memorentur, exponit Casaubonus ad Polyb. 1. 16. pag. 164. Dux.
8. τοὺς ἄλλους ἕλληνας F.f.
9. φίβῳ A.B.D.F.H.Q.f.g.
10. δυνατὸν L.
ὑπόλοιπον τῶν ἀθηναίων H.
12. αἴτιοι αὐτῶν B.
13. καὶ ὑπὸ τῶν A.B.D.F.H.N. g.i. ceteri om. praepositionem.
16. πολλῶν om. Q.
συμμάχων K.
17. ξυμβοηθησόντων g.
18. γενόμενοι A.B.D.F.Q.f.g.i. k. ceteri γιγνόμενοι.
μετὰ] μετὰ τῶν L.O.k. καὶ K.
19. παρασχόντες Q.

τοῦ ναυτικοῦ μέγα μέρος προκόψαντες. ἔθνη γὰρ πλεῖστα δὴ ἐπὶ μίαν πόλιν ταύτην ξυνῆλθε, πλήν γε δὴ τοῦ ξύμπαντος λόγου τοῦ ἐν τῷδε τῷ πολέμῳ πρὸς τὴν Ἀθηναίων τε πόλιν καὶ Λακεδαιμονίων. * τοσοίδε γὰρ ἑκάτεροι ἐπὶ Σικελίαν τε καὶ περὶ Σικελίας, τοῖς μὲν ξυγκτησόμενοι τὴν χώραν ἐλθόντες, τοῖς δὲ ξυνδιασώσοντες, ἐπὶ Συρακούσας ἐπολέμησαν, οὐ κατὰ δίκην τι μᾶλλον οὐδὲ κατὰ ξυγγένειαν μετ' ἀλλήλων στάντες, ἀλλ' ὡς ἑκάστοις τῆς ξυντυχίας ἢ κατὰ τὸ ξυμφέρον ἢ ἀνάγκη

57. Recensentur Atheniensium socii, contra Syracusas profecti,

1. Μέγα μέρος προκόψαντες] ἀντὶ τοῦ προκοπὴν μεγάλην τῇ ναυτικῇ στόλῳ παρασχόντες· τουτέστι πολλὰς ναῦς αὐτοῖς παρασχόντες εἰς τὰς ναυμαχίας. ἢ (ὥς τινες) ἐπὶ μέγα ἐν τῇ ναυτικῇ προκόψαντες. 2. Ἐπὶ μίαν πόλιν] κατὰ μιᾶς πόλεως τῶν Συρακουσῶν. 4. Τοσοίδε γὰρ ἑκάτεροι] ἤγουν, πολλοὶ γὰρ ἦσαν συμμαχοῦντες ἑκατέροις τοῖς μέρεσιν. οἵ τε γὰρ Ἀθηναῖοι, ἐπὶ Σικελίαν ἐλθόντες, ἔσχον πολλούς τινας συμμάχους· οὐ μὴν ἀλλὰ καὶ οἱ Συρακούσιοι, περὶ Σικελίας μαχόμενοι, ὁσαύτως ἐπήγοντο τοὺς μετασχήσοντας τοῦ πολέμου καὶ κινδυνεύσοντας ἐπὶ τῷ διασῶσαι τὴν τῶν Συρακουσίων πόλιν, ὅσπερ τοῖς συμμαχοῦσιν Ἀθηναίοις σκοπὸς τὸ συγκτήσασθαι χώραν. Κατάλογος τῶν ἐθνῶν τῶν συμμαχησάντων Ἀθηναίοις κατὰ Συρακουσῶν· Ἀθηναῖοι, Δήμνιοι, Ἴμβριοι, Αἰγινῆται, Ἐστιαιεῖς. οὗτοι πάντες Ἀθηναίων ἄποικοι ἦσαν. Ἐρετριεῖς, Χαλκιδεῖς, Στυρεῖς, Καρύστιοι, Κεῖοι, Ἄνδριοι, Τῆϊοι, Μιλήσιοι, Σάμιοι, Χῖοι, Μηθυμναῖοι, Τενέδιοι, Αἴνιοι, Πλαταιεῖς, Ῥόδιοι, Κυθήριοι, Κεφαλλῆνες, Ζακύνθιοι, Κερκυραῖοι, Μεσσήνιοι ἐκ Ναυπάκτου, Μεγαρεῖς φυγάδες, Ἀργεῖοι, Μαντινεῖς, Κρῆτες, Αἰτωλοί, Ἀκαρνᾶνες, Θούριοι, Μεταπόντιοι, Νάξιοι, Καταναῖοι, Ἐγεσταῖοι, Τυρσηνοί, Ἰάπυγες. 5. Τοῖς μὲν] τοῖς Ἀθηναίοις. 6. Τοῖς δὲ] τοῖς Συρακουσίοις. 8. Μετ' ἀλλήλων στάντες] συμμαχήσαντες ἀλλήλοις. 9. Τῆς ξυντυχίας] ἀλλ' ὡς

1. ναυτικοῦ οὐ μέγα Q.
προκάψαντες k. προκάμψαντες P.
2. δὴ om. f.
ξυνῆλθον P.
4. ἑκάτεροι om. K.
5. τοὺς μὲν D.F.
συγκτησόμενοι c. ξυγκτησάμενοι d. συνκτησάμενοι e.
6. ἐλθόντες recepi ex A.B.D. H.K.N.Q.c.d.e.f.g.i.
τοὺς e.
ξυνδιασώσαντες A.D.F.G.g.
8. Μετ' ἀλλήλων στάντες] Marg. et Camer. καταστάντες. Sed altero etiam Thucydides III. 39. utitur: Ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι. Ubi Scholiastes itidem, ut hic, συνεμάχησαν τοῖς πολεμίοις ἡμῶν. Infra cap. 61. Καὶ τὸ τῆς τύχης κῷν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι. Et cum præpositione πρὸς IV. 56. Πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν. Duk.
9. ἑκάστοις B. ἕκαστοι i. ἑκάστης k.
ξυμφέρων ἢ g. ξυμφέρων, omissa particula, d.i.
ἀνάγκη A.D.F.H.d.g.i.k. ἀνάγκην f. vulgo ἀνάγκης.

ἔσχεν. Ἀθηναῖοι μὲν αὐτοὶ Ἴωνες ἐπὶ Δωριέας Συρακοσίους ἐκόντες ἦλθον, καὶ αὐτοῖς τῇ αὐτῇ φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι Λήμνιοι καὶ Ἴμβριοι καὶ Αἰγινῆται, οἳ τότε Αἴγιναν εἶχον, καὶ ἔτι Ἑστιαιῆς οἱ ἐν Εὐβοίᾳ Ἑστίαιαν οἰκοῦντες, ἄποικοι ὄντες ξυνεστράτευσαν. τῶν δὲ ἄλλων οἱ μὲν ὑπήκοοι, οἱ δ' ἀπὸ ξυμμαχίας αὐτόνομοι, εἰσὶ δὲ καὶ οἳ μισθοφόροι ξυνεστράτευον. καὶ τῶν μὲν ὑπηκόων καὶ φόρου ὑποτελῶν Ἐρετριῆς καὶ Χαλκιδῆς καὶ Στυρῆς καὶ Καρύστιοι ἀπ' Εὐβοίας ἦσαν, ἀπὸ δὲ νήσων Κεῖοι καὶ Ἄνδριοι καὶ Τήνιοι, ἐκ δ' Ἰωνίας Μιλήσιοι καὶ Σάμιοι καὶ Χῖοι. τούτων Χῖοι οὐχ ὑποτελεῖς ὄντες φόρου, ναῦς δὲ παρέχοντες, αὐτόνομοι ξυνέσποντο. καὶ τὸ πλεῖ-

ἑκάστοις (φησί) συνέτυχεν, ἢ διὰ τὸ ἴδιον συμφέρον ἢ ἐξ ἀνάγκης στρατεύεσθαι.

1. ἔσχεν A.B.D.F.H.f.g.k. ἔσχενον d.i. vulgo ἔσχον.
2. ἑκόντας Q.
αὐτοῖς om. L.O.P.
4. ἑστιαῖς F.H.
ἑστιαίαν L.N.O.P. ἑστίαιαν F. H.g. ἑστίαν b.
5. ἄποικοι c.
7. δὲ καὶ οἳ A.D.F.H.c.e.g. δὲ οἳ K. ceteri δὲ οἳ καί.
μισθομίσθοι Q.
ξυνεστράτευσαν g.
8. στειρεῖς K.
Στυρεῖς] Herodoto Στυρέες. Στύρα vero ad Euboeæ partem Orientalem prope Carystum. Salmasius apud Steph. reponit Στύρακα. At Styrax juxta Eustathium mons Cretæ. Urbs erat veterrima. Homer. οἱ Στύρα ναιετάασκον, sed parva et infrequens. Nam in navali pugna cum Xerxe, Eretrienses septem navea, binas tantum Styrenses suppeditarunt. Homerum sequitur Nonnus Dionys. p. 360. Καὶ Στύρα, καὶ Κήρινθον ἀειδομένης τε Καρύστου Ἕδρανα. Αἰγιλέαν, aut Αἰγιλίαν insulam Στυρέων memorat etiam Herodotus. Hodie opinor *Spitilus*. Eversam urbem bello Maliaco (Λαμιακῷ Casaub.) a Phædro, Atheniensium duce, narrat Strabo. vid. et Pausan. Est et *Stira* oppidum ad ostia Cephissi situm, Thrasybuli patria: neque enim Styrensem, secundum Usserium, neque Tyriensem, cum Lambino ad Nepotem, dixeris. Wass. Confer, quæ de Styra Euboeæ habet Holstenius ad Stephanum. Duk.
9. κῖοι F.G.L.O.P.f.
10. καὶ ante ἄνδριοι om. f.i. post ἄνδριοι om. c.e.
τήνιοι B. vulgo τήϊοι.
καὶ ἐκ D. ἐκ δ' ἰωνίας μιλήσιοι om. G.
11. φόρου οὐχ ὑποτελεῖς ὄντες B.
12. ξυνέπωντο e. ξυνείπωντο Q.d. ξυνέπονται g.

στον Ἴωνες ὄντες οὗτοι πάντες καὶ ἀπ' Ἀθηναίων, πλὴν Καρυστίων (οὗτοι δ' εἰσὶ Δρύοπες,) ὑπήκοοι δ' ὄντες καὶ ἀνάγκῃ ὅμως, Ἴωνές τε ἐπὶ Δωριέας, ἠκολούθουν. πρὸς δ' αὐτοῖς Αἰολῆς, Μηθυμναῖοι μὲν ναυσὶ καὶ οὐ φόρῳ ὑπήκοοι, Τενέδιοι δὲ καὶ Αἴνιοι ὑποτελεῖς. οὗτοι δὲ Αἰο- 5
λῆς Αἰολεῦσι τοῖς κτίσασι Βοιωτοῖς μετὰ Συρακοσίων κατ' ἀνάγκην ἐμάχοντο, Πλαταιῆς δὲ καταντικρὺ Βοιωτοὶ Βοιωτοῖς μόνοι εἰκότως κατ' ἔχθος. Ῥόδιοι δὲ καὶ Κυθήριοι Δωριῆς ἀμφότεροι, οἱ μὲν Λακεδαιμονίων ἄποικοι Κυθήριοι ἐπὶ Λακεδαιμονίους τοὺς ἅμα Γυλίππῳ με- 10
τὰ Ἀθηναίων ὅπλα ἔφερον, Ῥόδιοι δὲ Ἀργεῖοι γένος Συρακοσίοις μὲν Δωριεῦσι, Γελῴοις δὲ καὶ ἀποίκοις ἑαυτῶν οὖσι, μετὰ Συρακοσίων στρατευομένοις ἠναγκάζοντο πολεμεῖν. τῶν τε περὶ Πελοπόννησον νησιωτῶν Κεφαλλῆνες μὲν καὶ Ζακύνθιοι αὐτόνομοι μέν, κατὰ δὲ τὸ νησιωτικὸν 15
μᾶλλον κατειργόμενοι, ὅτι θαλάσσης ἐκράτουν οἱ Ἀθηναῖοι, ξυνείποντο· Κερκυραῖοι δὲ οὐ μόνον Δωριῆς ἀλλὰ καὶ Κορίνθιοι σαφῶς ἐπὶ Κορινθίους τε καὶ Συρακοσίους, τῶν μὲν ἄποικοι ὄντες, τῶν δὲ ξυγγενεῖς, ἀνάγκῃ μὲν ἐκ

1. Καὶ ἀπ' Ἀθηναίων] ἄποικοι δηλονότι. 2. Οὗτοι] ἤγουν οἱ Καρύστιοι. 4. Ναυσὶ] ἤγουν σὺν ναυσί. 15. Κατὰ δὲ τὸ νησιωτικὸν] ἤγουν νόμιμον, ἔθος. 17. Οὐ μόνον Δωριεῖς] ὄντες δηλονότι. 19. Ἀνάγκῃ μὲν ἐκ τοῦ εὐτρεποῦς] ἔλεγον (φησίν) ἐξ ἀνάγκης ἀκολουθεῖν, ἵν' εὐπρεπὴς ἀπολογισμὸς αὐ-

2. Δρύοπες] Scymnus Chius v. 576. Δρύοπας δὲ τὴν Κάρυστον ὀνομασμένην condidisse, unus, opinor, narrat. In Long. 54. 30. Lat. 37. 30. Ptolemæus. Wass.

3. τε] γε B.

6. κτίσασι A.O.b.e.f.k.

μετὰ τῶν συρ. L.O. μετα—βοιωτοῖς om. K.

7. κατ' ἀντικρὺ F.H.g.

βοιωτοὶ om. c.

8. κατὰ τὸ ἔχθος B.Q.d.i.f. κατ' ἔχθραν P.

9. λακεδαιμονίων P.

10. μετὰ τῶν ἀθηναίων L.O.

11. ἐπέφερον B.

13. συστρατευόμενοι G.

14. τε] δὲ B.

πελοπ. νησ.] πελοποννησιωτῶν Q.

κεφαλῆνες Q.g.

16. οἱ ἀθηναῖοι A.B.D.F.H. L.N.O.P.f.g.i.k. ceteri om. articulum.

17. δωριῆς] ῥοδιεῖς K.

τοῦ ἐπιτρεπεῦς, βουλήσει δὲ κατὰ ἔχθος τὸ Κορινθίων οὐχ ἧσσον εἴπωντο. καὶ οἱ Μεσσήνιοι νῦν καλούμενοι ἐν Ναυπάκτῳ καὶ ἐκ Πύλου, τότε ὑπ' Ἀθηναίων ἐχομένης, ἐς τὸν πόλεμον παρελήφθησαν. καὶ ἔτι Μεγαρέων φυγάδες
5 εὖ πολλοὶ Μεγαρεῦσι Σελινουντίοις οὖσι κατὰ ξυμφορὰν ἐμάχοντο. τῶν δὲ ἄλλων ἑκούσιος μᾶλλον ἡ στρατεία ἐγίγνετο ἤδη. Ἀργεῖοι μὲν γὰρ οὐ τῆς ξυμμαχίας ἕνεκα μᾶλλον, ἢ τῆς Λακεδαιμονίων τε ἔχθρας καὶ τῆς παραυτίκα ἕκαστοι ἰδίας ὠφελίας, Δωριῆς ἐπὶ Δωριέας
10 μετὰ Ἀθηναίων Ἰώνων ἠκολούθουν, Μαντινῆς δὲ καὶ ἄλλοι Ἀρκάδων μισθοφόροι, ἐπὶ τοὺς ἀεὶ πολεμίους σφίσιν ἀποδεικνυμένους εἰωθότες ἰέναι, καὶ τότε τοὺς μετὰ Κορινθίων ἐλθόντας Ἀρκάδας οὐδὲν ἧσσον διὰ κέρδος ἡγούμενοι πολεμίους, Κρῆτες δὲ καὶ Αἰτωλοὶ μισθῷ καὶ οὗτοι πεισθέντες·
15 ξυνέβη δὲ τοῖς Κρησὶ, τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας

τοῖς ᾗ· οὐχ ἧσσον δὲ βουλόμενοι, ἤπερ ἐξ ἀνάγκης, εἴπωντο, διὰ τὴν Κορινθίων ἔχθραν. 5. Κατὰ ξυμφορὰν ἐμάχωντο] ξυμφορὰν ἄρτι τὴν φυγὴν λέγει, ὅτι φυγάδες ὄντες τοῖς ξυγγενέσιν ἐμάχωντο. 8. Καὶ τῆς παραυτίκα] τῆς κατὰ τὸ ἐνεστώς. 13. Οὐδὲν ἧσσον διὰ κέρδος] παροιμία· Πιπράσκει δ' ὁ κακὸς πάντα πρὸς ἀργύριον. Καλλιμάχου. 14. Μισθῷ καὶ οὗτοι πεισθέντες] ἦλθον μετὰ τῶν Ἀθηναίων. 15. Ξυγκτίσαντας] ἀντὶ

1. τὸ] τῶν G.
2. εἴπωντο om. e.
νῦν] μὲν K.
ἐκ ναυπάκτου B.
6. ἀκούσιος e.
7. μὲν γὰρ B. δὲ Q. ceteri μέν.
9. ὠφελίας addidi ex B. et margine N.
10. Μετὰ Ἀθηναίων Ἰώνων ἠκολούθουν] Aristophanes Plut. v. 824. ἕπου μετ' ἐμοῦ, παιδάριον· ubi Scholiastes observat, etiam Platonem in Menexeno dicere, ἀκολούθει μετ' ἐμοῦ. Isocrates in Plataïco pag. 299. Ed. Steph. Τοῖς μὲν σώμασι μετ' ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δὲ εὐνοίαις μεθ' ἡμῶν ἦσαν. Cebes pag. 55. Ed. Gron. Αἱ δὲ γυναῖκες αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι. Dux.
10. Ἰώνων om. b.e.
ἄλλων L. -
11. ἀεὶ πολεμίους] λεπομένους B.
12. εἰωθότες ἰέναι B. ceteri inverso ordine.
μετὰ κορινθίων A.B.D.F.G.H. L.O.c.e.f.g.i.k. vulgo μετὰ τῶν κορινθίων.
15. δὲ om. L.
Ξυνέβη δὲ τοῖς Κρησὶ τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας] Satis usitatum est, ut dativum excipiat accusativus participii sequente infinitivo. Thucydides VI. 55. Ἱππάρχῳ δὲ ξυνέβη, τοῦ

μὴ ξὺν τοῖς ἀποίκοις ἀλλ' ἐπὶ τοὺς ἀποίκους ἄκοντας μετὰ μισθοῦ ἐλθεῖν. καὶ Ἀκαρνάνων τινὲς ἅμα μὲν κέρδει, τὸ δὲ πλέον Δημοσθένους φιλίᾳ καὶ Ἀθηναίων εὐνοίᾳ ξύμμαχοι ὄντες ἐπεκούρησαν. καὶ οἵδε μὲν τῷ Ἰονίῳ κόλπῳ ὁριζόμενοι· Ἰταλιωτῶν δὲ Θούριοι καὶ Μεταπόντιοι ἐν τοιαύταις ἀνάγκαις τότε στασιωτικῶν καιρῶν κατειλημμένων ξυνεστράτευον, καὶ Σικελιωτῶν Νάξιοι καὶ Καταναῖοι· βαρβάρων δὲ Ἐγεσταῖοι, οἵπερ ἐπηγάγοντο, καὶ Σικελῶν τὸ πλέον, καὶ τῶν ἔξω Σικελίας Τυρσηνῶν τέ τινες κατὰ διαφορὰν Συρακοσίων καὶ Ἰάπυγες μισθοφόροι. τοσάδε μὲν μετὰ Ἀθηναίων ἔθνη ἐστράτευον. * Συρακοσίοις δὲ ἀντεβοήθησαν Καμαριναῖοι μὲν ὅμοροι ὄντες, καὶ Γελῷοι οἰκοῦντες μετ' αὐτούς, ἔπειτα Ἀκραγαντίνων ἡσυχαζόντων ἐν τῷ ἐπέκεινα ἱδρυμένοι Σελινούντιοι. καὶ οἵδε μὲν τῆς Σικελίας τὸ πρὸς Λιβύην μέρος τετραμμένον νεμόμενοι, Ἱμεραῖοι δὲ ἀπὸ τοῦ πρὸς τὸν Τυρσηνικὸν πόντον μορίου, ἐν ᾧ καὶ μόνοι Ἕλληνες οἰκοῦσιν·

58. item Syracusanorum.

τοῦ ξυγκτίσασι. 5. Ἐν τοιαύταις] ἤτοι ταῖς μισθοφορικαῖς. 8. Οἵπερ ἐπηγάγοντο] ἐπεσπάσαντο. 10. Κατὰ διαφορὰν] ἔχθραν.

πάθους τῇ δυστυχίᾳ ὠνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν. Et VII. 40. Ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις αὐτοῦ ὑπὸ σφῶν αὐτῶν διαμαλλόντας κέπῳ ἁλίσκεσθαι. Eadem ratio est in illo, quod e Pausania adnotat Sylburgius: Τοῖς ἐντυγχάνουσι παρεκελεύοντο ἄνδρας εἶναι ἀγαθούς. In quibus omnibus, apertum est, supplendum esse accusativum pronominis. Duk.

1. ἀποίκους ἀκόντας B.
4. ἰωνίῳ G.K.g.
5. ὁριζόμενοι e.
6. τότε om. L.
στασιωστικῶν H.L.O.g. στρατιωτικῶν A.D.F.Q.k.
κατειλημμένοι correctus i.
7. νάξιοι καταναῖοι B.
9. σικελῶν B.N. vulgo σικελιωτῶν.
10. καὶ om. g.
11. μετὰ τῶν ἀθηναίων d.i.
ἔθνη om. L.
12. καμαριναῖοι A.B.D.F.G.H. K.L.N.O.f.g.k. ceteri καὶ καμαριναῖοι.
13. οἰκοῦντες] οἱ οἰκοῦντες G. K.e.
μετὰ τοὺς A.
14. ἡσυχαζόντων om. e.
16. ἱμεραῖοι L.O.
τὴν om. P.g.
τυρρηνικὸν G.

οὗτοι δὲ καὶ ἐξ αὐτοῦ μόνοι ἐβοήθησαν. καὶ Ἑλληνικὰ μὲν ἔθνη τῶν ἐν Σικελίᾳ τοσάδε, Δωριῆς τε καὶ [οἱ] αὐτόνομοι πάντες, ξυνεμάχουν, βαρβάρων δὲ Σικελοὶ μόνοι, ὅσοι μὴ ἀφέσταν πρὸς τοὺς Ἀθηναίους· τῶν δ' ἔξω Σικελίας Ἑλλήνων Λακεδαιμόνιοι μὲν ἡγεμόνα Σπαρτιάτην παρεχόμενοι, Νεοδαμώδεις δὲ τοὺς ἄλλους καὶ Εἵλωτας (δύναται δὲ τὸ Νεοδαμώδες ἐλεύθεροι ἤδη εἶναι,) Κορίνθιοι δὲ καὶ ναυσὶ καὶ πεζῷ μόνοι παραγενόμενοι, καὶ Λευκάδιοι καὶ Ἀμπρακιῶται κατὰ τὸ ξυγγενές, ἐκ δὲ Ἀρκαδίας μισθοφόροι ὑπὸ Κορινθίων ἀποσταλέντες, καὶ Σικυώνιοι ἀναγκαστοὶ στρατεύοντες, καὶ τῶν ἔξω Πελοποννήσου Βοιωτοί. πρὸς δὲ τοὺς ἐπελθόντας τούτους οἱ Σικελιῶται αὐτοὶ πλῆθος πλέον κατὰ πάντα παρέσχοντο, ἅτε μεγάλας πόλεις οἰκοῦντες· καὶ γὰρ ὁπλῖται πολλοὶ καὶ νῆες καὶ ἵπποι καὶ ἄλλος ὅμιλος ἄφθονος ξυνελέγη. καὶ πρὸς ἅπαντας αὖθις, ὡς εἰπεῖν, τοὺς ἄλλους Συρακόσιοι αὐτοὶ πλείω ἐπορίσαντο, διὰ μέγεθός τε πόλεως, καὶ ὅτι ἐν μεγίστῳ κινδύνῳ ἦσαν. * Καὶ αἱ μὲν ἑκατέρων ἐπικουρίαι τοσαίδε ξυνελέγησαν, καὶ τότε ἤδη πᾶσαι ἀμφοτέροις παρῆσαν, καὶ οὐκέτι οὐδὲν οὐδετέροις ἐπῆλθεν. 59. Portum igitur obstruunt triremibus ex

2. Καὶ οἱ αὐτόνομοι] δημοκρατούμενοι. 4. Ὅσοι μὴ ἀφέσταν] τῶν Συρακουσίων δηλονότι. 6. Νεοδαμώδεις δὲ] Νεοδαμώδης ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαιμονίοις. 9. Κατὰ τὸ ξυγγενὲς] τῶν Συρακουσίων.

1. ἐξ αὐτοῦ μόνοι A.B.D.F.G. H.L.O.Q.c.e.g.i.k. ἐξ αὐτοῦ μόνον P. ceteri μόνοι ἐξ αὐτοῦ.
2. ἐν om. B.
τε] δὲ d.i.
οἱ αὐτόνομοι] αὐτόνομοι οἱ Reiskius.
4. μὴ om. O.
ἀφέσταν D.g.
6. δὲ om. d.
7. δὲ νεοδαμώδεις K.
12. οἱ om. e.
15. καὶ ὁ ἄλλος B.
συνελέγη D.F.H.K.d.e.g.i.k.
16. συρακούσιοι B. et correcti d. i. ceteri συρακουσίους.
17. πλεῖον d.i.
μέγεθός τε B.d.i. vulgo μέγεθος.
18. ὅτι γὰρ ἐν B. καὶ ὅτι—ἦσαν om. K.
19. τοσαῖδε A. ut solet.

obliquo objectis, aliisque navigiis, ancoris ea stabilientes.

Οἵ τε οὖν Συρακόσιοι [καὶ οἱ ξύμμαχοι] εἰκότως ἐνόμισαν καλὸν ἀγώνισμα σφίσιν εἶναι ἐπὶ τῇ γεγενημένῃ νίκῃ τῆς ναυμαχίας ἑλεῖν τε τὸ στρατόπεδον ἅπαν τῶν Ἀθηναίων, τοσοῦτον ὄν, καὶ μηδὲ καθ' ἕτερα αὐτοὺς, μήτε διὰ θαλάσσης μήτε τῷ πεζῷ, διαφυγεῖν. ἔκλῃον οὖν τόν τε λιμένα εὐθὺς τὸν μέγαν, ἔχοντα τὸ στόμα ἑκτὸς σταδίων μάλιστα, τριήρεσι πλαγίαις καὶ πλοίοις καὶ ἀκάτοις, ἐπ' ἀγκυρῶν ὁρμίζοντες, καὶ τἆλλα, ἢν ἔτι ναυμαχεῖν οἱ Ἀθηναῖοι τολμήσωσι, παρεσκευάζοντο, καὶ ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν. * τοῖς δὲ Ἀθηναίοις, τήν τε ἀπόκλησιν ὁρῶσι καὶ τὴν ἄλλην διάνοιαν αὐτῶν αἰσθομένοις, βουλευτέα ἐδόκει. καὶ ξυνελθόντες οἵ τε στρατηγοὶ καὶ οἱ ταξίαρχοι πρὸς τὴν παροῦσαν ἀπορίαν τῶν τε ἄλλων καὶ

60. Qua re animadversa, duces Atheniensium, taxiarchis quoque in

2. Καλὸν ἀγώνισμα] ἔνδοξον, συμφέρον. 12. Καὶ ξυνελθόντες οἵ τε στρατηγοὶ] νῦν διὰ τὸ ἄπορον καὶ τοὺς ταξιάρχους οἱ στρατηγοὶ συνήγαγον, καθ' αὐτοὺς πρότερον βουλευόμενοι.

1. καὶ οἱ ξύμμαχοι] om. A.D.F. H.K.L.N.O.P.Q.c.d.e.f.g.i.k.
ἐνομίσθησαν e.
2. Καλὸν ἀγώνισμα] Ἀγῶνα quidem habet maxima pars MSS-torum. Sed alterum etiam supra cap. 56. dixit Thucydides: καλὸν σφίσιν ἐς τοὺς Ἕλληνας τὸ ἀγώνισμα φανεῖσθαι. Et sic etiam Scholiastes. Duk.
ἀγῶνα A.D.F.G.H.K.L.N.O. Q.d.e.f.g.i.k. Conf. c. 68. extr.
3. δὲ d. δέ τε e.
4. τοσοῦτο B.
μὴ g.
ἕτερα B.i. ἕτερον G. vulgo ἑκάτερα.
5. ἔκλῃον D.F.K.g.
οὖν om. e.
6. τε om. i.
τὸ om. D.Q. τὸ στόμα om. e.
στάδια e.
9. Ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπενόουν] Acacius non ineleganter: *nihil adeo parvum aut segne ab ulla parte animo volvebant.* Sed malim, *in ullam partem.* Aristophanes Equit. v. 386. Μηδὲν ὀλίγον ποιεῖ. ubi Scholiastes: πάντα μεγάλα κατ' αὐτοῦ ποιεῖ, καὶ μηδὲν εὐτελές. Thucydides VIII. 15. Καὶ ὀλίγον ἐπράσσετο οὐδὲν ἐς τὴν βοήθειαν τὴν ἐπὶ τὴν Χίον. Duk.
10. ἀπόκλησιν D.F.H.K.Q.b. c.g.
11. ἄλλην στρατιὰν διάνοιαν i.
αἰσθανομένοις O.k.
12. Οἱ ταξίαρχοι] De his vide, quæ Viri eruditissimi ad Pollucem VIII. 115. scripserunt, et Perizonium ad Ælian. Var. Hist. 2, 44. Scholiastes putat, eos extra ordinem, ut in re crepera, ad consilium fuisse advocatos. Hoc satis probabile est: nam ex iis, quæ VI. 47. et VII.

ὅπι τὰ ἐπιτήδεια οὔτε αὐτίκα· ἔτι εἶχον (προπέμψαντες γὰρ ἐς Κατάνην, ὡς ἐκπλευσόμενοι, ἀπεῖπον μὴ ἐπάγειν) ὅτε τὸ λοιπὸν ἔμελλον ἕξειν, εἰ μὴ ναυκρατήσουσιν, ἐβουλεύσαντο τὰ μὲν τείχη τὰ ἄνω ἐκλιπεῖν, πρὸς δὲ αὐταῖς ταῖς ναυσὶν ἀπολαβόντες διατειχίσματι ὅσον οἷόν τε ἐλάχιστον τοῖς τε σκεύεσι καὶ τοῖς ἀσθενέσιν ἱκανὸν γενέσθαι, τοῦτο μὲν φρουρεῖν, ἀπὸ δὲ τοῦ ἄλλου πεζοῦ τὰς ναῦς ἁπάσας, ὅσαι ἦσαν καὶ δυναταὶ καὶ ἁπλοώτεραι, πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι, καὶ διαναυμαχήσαντες, ἢν μὲν νικῶσιν, ἐς Κατάνην κομίζεσθαι, ἢν δὲ μή, ἐμπρήσαντες τὰς ναῦς, πεζῇ ξυνταξάμενοι ἀποχωρεῖν, ἢ ἂν τάχιστα μέλλωσί τινος χωρίου ἢ βαρβαρικοῦ ἢ Ἑλληνικοῦ φιλίου ἀντιλήψεσθαι. καὶ οἱ μέν, ὡς ἔδοξεν αὐτοῖς ταῦτα, καὶ ἐποίησαν· ἔκ τε γὰρ τῶν ἄνω τειχῶν ὑποκατέβησαν, καὶ τὰς ναῦς ἐπλήρουν πάσας, ἀναγκάσαντες ἐσβαίνειν ὅστις καὶ ὁπωσοῦν ἐδόκει ἡλικίας μετέχειν ἐπιτήδειος εἶναι. καὶ ξυνεπληρώθησαν νῆες αἱ πᾶσαι δέκα

consilium adhibitis, decernunt, muro superiore relicto, prope navium stationem munimentum quam minimum, ad utensilia et ægrotos recipiendum, extruere, militesque omnes in naves imponere, ut, navalis pugna facto, aut, victoriam consecuti, Catanam abirent, aut, victi, combustis navibus, pedestri itinere ad amicum quoddam

5. Ἀπολαβόντες] Ἰδιώσαντες, ἀποκόψαντες. 7. Τοῦτο μὲν] τὸ διατείχισμα. 8. Καὶ ἁπλοώτεραι] ἁπλοωτέρας οὐ τὰς ἁπλοῦς πανταχόθεν λέγει, ἀλλὰ τὰς διὰ πληρωμάτων ἔνδειαν ἁπλόους ἱσταμένας. τοῦτο δὲ καὶ ἡ τοῦ λόγου ἐπαγωγὴ δηλοῖ, πάντα τινὰ ἐσβιβάζοντες πληρῶσαι. 16. Ἡλικίας μετέχων] νεό-

43. scribit Thucydides, non alios fere, quam στρατηγοὺς, consultasse, intelligi potest. Duces Romanos idem interdum, pro tempore, fecisse, ut omnium ordinum Centuriones in consilium adhiberent, ostendit Lipsius II. de Milit. Rom. 8. Duk.

2. ἐς τὴν κατάνην G.
ἐκπλευσούμενοι g.
3. οὔτε] ἔτε g.
ἐβουλεύοντο d.
4. τὰ ἄνω] τῶν ἄνω K.N.b.c. d.e.k.
αὐταῖς] ταύταις e.
5. ἀποβαλόντες i.
διατειχίσματι B. vulgo διατείχισμά τι.
τε om. d.e.i.
6. ἀσθενοῦσιν B.
7. τοῦ om. g.
8. ἁπάσας B. ceteri πάσας.
9. ἐσβιβάζοντες A.D.F.H.N.d.g. i.k.
10. ἢν] εἰ i.
12. ἢ ἑλληνικοῦ ἢ βαρβαρικοῦ ἀντιλήψεσθαι K.
13. ταῦτα ἐποίησαν H.
15. ἀναγκάζοντες K.

oppidum penetrarent. Itaque decem et centum naves impleverunt. Nicias autem militum, propter inopiam pugnæ discrimen accelerantium, animos

μάλιστα καὶ ἑκατόν· τοξότας τε ἐπ' αὐτὰς πολλοὺς κα
ἀκοντιστὰς τῶν τε Ἀκαρνάνων καὶ τῶν ἄλλων ξένων ἐσ
βίβαζον, καὶ τἆλλα, ὡς οἷόν τ' ἦν ἐξ ἀναγκαίου τε κα
τοιαύτης διανοίας, ἐπορίσαντο. ὁ δὲ Νικίας, ἐπειδὴ τ
πολλὰ ἑτοῖμα ἦν, ὁρῶν τοὺς στρατιώτας τῷ τε παρὰ τ
εἰωθὸς πολὺ ταῖς ναυσὶ κρατηθῆναι ἀθυμοῦντας, καὶ δι
τὴν τῶν ἐπιτηδείων σπάνιν ὡς τάχιστα βουλομένους δια
κινδυνεύειν, ξυγκαλέσας ἅπαντας παρεκελεύσατό τε πρῶ
τον καὶ ἔλεξε τοιάδε.

61—64. adhortatione reficere conatus est.

"Ἄνδρες στρατιῶται Ἀθηναίων τε καὶ τῶν ἄλ
"λων ξυμμάχων, ὁ μὲν ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς
"ἅπασιν ἔσται, περί τε σωτηρίας καὶ πατρίδος ἑκά-
"στοις οὐχ ἧσσον ἢ τοῖς πολεμίοις· ἢν γὰρ κρατήσωμεν
"νῦν ταῖς ναυσὶν, ἔστι τῷ τὴν ὑπάρχουσάν που οἰκείαν πό-
"λιν ἐπιδεῖν. ἀθυμεῖν δὲ οὐ χρὴ, οὐδὲ πάσχειν ὅπερ
"οἱ ἀπειρότατοι τῶν ἀνθρώπων, οἳ τοῖς πρώτοις ἀγῶσι

τητος. 4. Ὁ δὲ Νικίας ἐπειδὴ] τῷ Νικίᾳ τὴν προτροπὴν τῆς διαλέξεως δίδοσι, καὶ ὡς καθ' ἡλικίαν πρεσβυτέρῳ, καὶ ὡς μείζονι στρατηγῷ, καὶ ὡς πάλαι τοὺς Συρακουσίους νενικηκότι, καὶ ὡς ἐν Πελοποννήσῳ καὶ ἐν ἄλλοις πολλοῖς τόποις τοὺς ἐναντίους διαπολεμήσαντι. 7. Διακινδυνεύειν] διὰ κινδύνου ἰέναι. 14. Ἔστι τῷ] τινὶ ἀφ' ἡμῶν.

1. ἐπ'] ἐς G.
2. ἐξεβίαζον c.
3. ὅσα B.
καὶ τῆς τοιαύτης ἐπορίσαντο i.
5. ὁρῶν τοὺς B. vulgo ὁρῶν καὶ τούς.
6. κρατηθέντες c.
τε B.D.F.G.H.Q.d.e.g.i. vulgo τότε.
8. Παρεκελεύσατο τότε] Valde friget illud τότε, et melior sine dubio est scriptura Reg. et Cass. παρεκελεύσατό τε. Τὸ temere repetitum videtur a fine vocis præcedentis. Thucyd. IV. 94. Παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε. Duk.
10. Ἄνδρες] Orationem habuit Nicias nave conscensa, non in terra. Vid. Diodorum Sic. XIII. 338. d. Aliter Noster V. 69. Wass.
στρατιῶται om. G.K.f.
τε om. K.
12. ἑκάστοις B.
14. τῳ] τοι A. τὸ D.g.
μου οἰκείαν πάλιν g.
Πάλιν ἐπιδεῖν] Sic. VI. 69. Καὶ τὴν ὑπάρχουσαν σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν· quem locum laudans Thomas Magister in ἐπεῖδεν, nescio quid ineptiarum videtur propinare, quod, hoc ver-

" σφαλέντες ἔπειτα διὰ παντὸς τὴν ἐλπίδα τοῦ φόβου
" ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν. ἀλλ' ὅσοι τε Ἀθη-
" ναίων πάρεστε, πολλῶν ἤδη πολέμων ἔμπειροι ὄντες,
" καὶ ὅσοι τῶν ξυμμάχων, ξυστρατευόμενοι ἀεὶ, μνή-
5 " σθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων, καὶ τὸ τῆς
" τύχης κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι, καὶ ὡς ἀνα-
" μαχούμενοι ἀξίως τοῦδε τοῦ πλήθους, ὅσον αὐτοὶ ὑμῶν
" αὐτῶν ἐφοράτε, παρασκευάζεσθε. * ἃ δὲ ἀρωγὰ 62.
" ἐνείδομεν ἐπὶ τῇ τοῦ λιμένος στενότητι πρὸς τὸν μέλλον-
10 " τα ὄχλον τῶν νεῶν ἔσεσθαι καὶ πρὸς τὴν ἐκείνων ἐπὶ
" τῶν καταστρωμάτων παρασκευὴν, οἷς πρότερον ἐβλα-
" πτόμεθα, πάντα καὶ ἡμῖν νῦν ἐκ τῶν παρόντων μετὰ
" τῶν κυβερνητῶν ἐσκεμμένα ἡτοίμασται. καὶ γὰρ το-
" ξόται πολλοὶ καὶ ἀκοντισταὶ ἐπιβήσονται καὶ ὄχλος,
15 " ᾧ ναυμαχίαν μὲν ποιούμενοι ἐν πελάγει, οὐκ ἂν ἐχρώ-
" μεθα, διὰ τὸ βλάπτειν ἂν τὸ τῆς ἐπιστήμης τῇ βαρύ-
" τητι τῶν νεῶν, ἐν δὲ τῇ ἐνθάδε ἠναγκασμένῃ ἀπὸ τῶν
" νεῶν πεζομαχίᾳ πρόσφορα ἔσται. εὕρηται δ' ἡμῖν

1. Ἔπειτα διαπαντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν] ἔπειτα (φησί) παντὶ τῷ χρόνῳ δυσέλπιδές εἰσι, καὶ προσδοκῶσιν ὁμοίως ταῖς γεγενημέναις συμφοραῖς τὰ μέλλοντα. 5. Τῶν ἐν τοῖς πολέμοις παραλόγων] Ὅμηρος· Ἠνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα. (Il. 18, 309). Καὶ τὸ τῆς τύχης] ἤγουν εὐτυχίας. 6. Κἂν μεθ' ἡμῶν ἐλπίσαντες στῆναι] καὶ τὴν τύχην καὶ ἡμῶν συλλήψεσθαι ἐλπίσαντες. 17. Ἐν δὲ τῇ ἐνθάδε] ἐν δὲ τῇ νῦν κατὰ ἀνάγκην ἀπὸ νεῶν γενησομένῃ πεζομαχίᾳ ἐπιτήδεια ἔσται. 18. Εὕρηται δ' ἡμῖν] ἀντὶ τοῦ ἐξεύρηται ἡμῖν ἐπιβολὴ χειρῶν σιδηρῶν, αἷς προσιούσας τὰς ναῦς πολεμίας κρατή-

bum semel apud Thucydidem significationem desiderii habere, dicit. Duk.

1. Τὴν ἐλπίδα τοῦ φόβου] Confer Thucydidem Orat. Phormionis II. 89. Wass. Hoc genus loquendi Thucydidis imitatur Lucianus in Tyrannicida pag. 700. Ἤ τις ἐλπὶς τοῦ φόβου, ἤ τι ὑπόμνημα τῶν συμφορῶν. Duk.

4. συστρατευόμενοι D.F.H.Q. στρατευόμενοι d.i.

8. παρεσκευάζεσθε B.

12. ὑμῖν A.B.f.i.

μετὰ τῶν om. e.

13. καὶ γὰρ—ἐπιβήσονται om. D. γὰρ om. g.

16. ἂν om. f.

" ὅσα χρὴ ἀντιναυπηγῆσαι, καὶ πρὸς τὰς τῶν ἐπωτίδων
" αὐτοῖς παχύτητας, ᾧπερ δὴ μάλιστα ἐβλαπτόμεθα,
" χειρῶν σιδηρῶν ἐπιβολαὶ, αἳ σχήσουσι τὴν πάλιν ἀνά-
" κρουσιν τῆς προσπεσούσης νεὼς, ἣν τὰ ἐπὶ τούτοις οὔ
" ἐπιβάται ὑπουργῶσιν. ἐς τοῦτο γὰρ δὴ ἠναγκάσμεθα, 5
" ὥστε πεζομαχεῖν ἀπὸ τῶν νεῶν, καὶ τὸ μήτε αὐτοὺς
" ἀνακρούεσθαι μήτ' ἐκείνους ἐᾶν ὠφέλιμον φαίνεται,
" ἄλλως τε καὶ τῆς γῆς, πλὴν ὅσον ἂν ὁ πεζὸς ἡμῶν
63. " ἐπέχῃ, πολεμίας οὔσης. * ὧν χρὴ μεμνημένους δια-
" μάχεσθαι ὅσον ἂν δύνησθε, καὶ μὴ ἐξωθεῖσθαι ἐς αὐ- 10
" τὴν, ἀλλὰ ξυμπεσούσης νηὶ νεὼς μὴ πρότερον ἀξιοῦν
" ἀπολύεσθαι ἢ τοὺς ἀπὸ τοῦ πολεμίου καταστρώμα-
" τος ὁπλίτας ἀπαράξητε. καὶ ταῦτα τοῖς ὁπλίταις
" οὐχ ἧσσον τῶν ναυτῶν παρακελεύομαι, ὅσῳ τῶν ἄνωθεν
" μᾶλλον τὸ ἔργον τοῦτο· ὑπάρχει δ' ἡμῖν ἔτι νῦν γε 15

σομαι, ὥστε μὴ δύνασθαι ἐξ ἀναχωρήσεως ἐμβάλλειν ἡμῖν. 1. Ὅσα χρὴ ἀντιναυπηγῆσαι] γράφεται, ὅσα μὴ ἀντιναυπηγεῖσθαι. Τῶν ἐπωτίδων αὐτοῖς] ἀντὶ τοῦ τῶν Συρακουσίων. 3. Ἐπιβολαὶ] ἤγουν ἀντιλαβαὶ εὕρηνται ἡμῖν. 8. Ἄλλως τε καὶ τῆς γῆς] διὰ τοῦτο (φησὶν) οὐ συμφέρει ἀνακρούεσθαι ἡμῖν, ὅτι ἄρα εἰς πολεμίαν γῆν ὑπὸ τῆς ἀνακρούσεως ἐξενεχθησόμεθα. 13. Ἀπαράξητε] ἀντὶ τοῦ εἰς τὴν θάλασσαν καταβάλητε· ἤγουν μετὰ ἀραγμοῦ καὶ συντριβῆς ἀποστήσητε. 14. Ὅσῳ τῶν ἄνωθεν μᾶλλον] τὸ μᾶλλον οὐκ ἔστι συγκριτικὸν, ἀλλὰ διασαφητικόν. οὐ γὰρ καὶ οἱ ναῦται

1. χρὴ] μὴ A.D.F.d.e.g.i.k. ἢν margo i.
ἀντιναυπηγῆσαι B.G.K. ναυπηγῆσαι f. ceteri ἀντιναυπηγεῖσθαι.
2. αὐτοῖς om. d.i.
παχυτάτας D.
ὅπερ D.g.
δὴ accesit ex B.
7. ἐὰν ὠφέλιμον φαίνηται A.
9. ἐπέχει F.H.Q.f.g.i.
οὔσης
ἐσομένης B.
10. δυνήσησθε Q.
11. ἀξιοῦν B.G.K. cum Valla; vulgo ἄξιον.
Ἄξιον] Pro ᾖν legendum ᾖ, abjecto μή. ita hoc recte habebit: nam nihil hic opus est particula negante. Lucianus Dialog. Mortuor. pag. 272. Μηδέ γε πρότερον σὺ ἀποθάνῃς, ἢ προπέμψεις πάντας τοὺς κόλακας. quod fortassis alii usitatius dicerent προπέμψῃς. Plutarchus Camill. p. 256. Ὁ δὲ, οὐκ, ἔφη, πρότερον, ἢ τοὺς ἐν Καπιτωλίῳ πολίτας ἐπιψηφίσασθαι κατὰ τὸν νόμον. Duk.
12. ἢ B.F.K.N.c.f. ἢν A.D.H.k. vulgo ἢν μή.
13. ὁπλίτας om. e.
15. γε om. i.

" τὰ πλείω τῷ πεζῷ ἐπικρατεῖν. τοῖς δὲ ναύταις πα-
" ραινῶ, καὶ ἐν τῷ αὐτῷ τῷδε καὶ δέομαι, μὴ ἐκπε-
" πλῆχθαί τι ταῖς ξυμφοραῖς ἄγαν, τήν τε παρασκευὴν
" ἀπὸ τῶν καταστρωμάτων βελτίω νῦν ἔχοντες καὶ τὰς
5 " ναῦς πλείους, ἐκείνην τε τὴν ἡδονὴν ἐνθυμεῖσθαι, ὡς
" ἀξία ἐστὶ διασώσασθαι, οἳ τέως Ἀθηναῖοι νομιζόμενοι
" καὶ μὴ ὄντες ὑμῶν τῆς τε φωνῆς τῇ ἐπιστήμῃ καὶ
" τῶν τρόπων τῇ μιμήσει ἐθαυμάζεσθε κατὰ τὴν Ἑλ-
" λάδα, καὶ τῆς ἀρχῆς τῆς ἡμετέρας οὐκ ἔλασσον κατὰ
10 " τὸ ὠφελεῖσθαι, ἔς τε τὸ φοβερὸν τοῖς ὑπηκόοις καὶ τὸ
" μὴ ἀδικεῖσθαι πολὺ πλεῖον μετείχετε. ὥστε κοινωνοὶ
" μόνοι ἐλευθέρως ἡμῖν τῆς ἀρχῆς ὄντες, δικαίως αὐτὴν
" νῦν μὴ καταπροδίδοτε, καταφρονήσαντες δὲ Κορινθίων
" τε, οὓς πολλάκις νενικήκατε, καὶ Σικελιωτῶν, ὧν οὐδ'
15 " ἀντιστῆναι σύνδεις ἕως ἤκμαζε τὸ ναυτικὸν ἡμῖν ἠξίωσεν,
" ἀμύνασθε αὐτούς, καὶ δείξατε ὅτι καὶ μετὰ ἀσθενείας

τῶν ἀπαράττειν τοὺς πολεμίους συναίτιοι. 2. Καὶ ἐν τῷ αὐτῷ τῷδε] καὶ ἐν τῷ παραινεῖν (φησί) δέομαι. 4. Καὶ τὰς ναῦς πλείους] ἤτοι τῶν πολεμίων νεῶν, ἢ νῦν πλείους ἤπερ πρότερον. 5. Τὴν ἡδονὴν ἐνθυμεῖσθαι] ἐνθυμεῖσθαί τε ἄξιόν ἐστιν ὅτι δεῖ διαφυλάξασθαι τὴν ἡδονήν. ἡδονὴν δὲ λέγει, ἣν ἐπιφέρει, ἐπὶ τῇ θαυμάζεσθαί τε κατὰ τὴν Ἑλλάδα καὶ κατὰ τὸ ὠφελεῖσθαι, ὅν τε τῷ μὴ ἀδικεῖσθαι αὐτοὶ, καὶ ἐν τῷ φοβεροὶ τοῖς ὑπηκόοις φαίνεσθαι. 6. Οἳ τέως Ἀθηναῖοι νομιζόμενοι] τοὺς μετοίκους λέγει. 10. Ὠφελεῖσθαι]

1. τὰ] νῦν Q.
3. συμφοραῖς D.F.e.
4. βέλτιω G.
6. διασώζεσθαι K.
Νομιζόμενοι] Ab hoc loco argumentatur et ad eundem modum Jason apud Euripidem Med. v. 536. Wass.
7. ἡμῶν e.
8. τῇ μιμήσει om. c.
τῆς ἑλλάδος i.
10. ἔς] ἅς i.
τὸ ἀδικεῖσθαι A.D.F.H.K.M.c.e.f.g. τὸ διακεῖσθαι L.O.P.k.
11. πλέον B.d.i. πλείω L.O.P.e.
ὡς, omissa τε, D.g.
κεκοινωνημένοι d.i.
12. δικαίως αὐτὴν d.g.i. ceteri δικαίως ἐν αὐτήν.
13. μὴ om. A.F.
καταπροδίδοτε A.B.D.F.H.K.M.b.c.d.e.f.g.i.k. καταπροδοίητε L.O.P. vulgo καταπροδίδοιτε.
14. πολλάκις μὲν νενικήκατε G.
15. ἤκμασε d.
16. ἀμύνεσθε d.i.
ὅτι μετὰ B.
ἀσθενείας τῶν ξυμφορῶν e.

" καὶ ξυμφορῶν ἡ ὑμετέρα ἐπιστήμη κρείσσων ἐστὶν ἐτέ-
64. " ρας εὐτυχούσης ῥώμης. * τούς τε Ἀθηναίους ὑμῶν
" πάλιν αὖ καὶ τάδε ὑπομιμνήσκω, ὅτι οὔτε ναῦς ἐν
" τοῖς νεωσοίκοις ἄλλας ὁμοίας ταῖσδε οὔτε ὁπλιτῶν
" ἡλικίαν ὑπελίπετε, εἴ τε ξυμβήσεταί τι ἄλλο ἢ τὸ
" κρατεῖν ὑμῖν, τούς τε ἐνθάδε πολεμίους εὐθὺς ἐπ' ἐκεῖ-
" να πλευσουμένους, καὶ τοὺς ἐκεῖ ὑπολοίπους ἡμῶν
" ἀδυνάτους ἐσομένους τούς τε αὐτοῦ καὶ τοὺς ἐπελθόν-
" τας ἀμύνασθαι. καὶ οἱ μὲν ἂν ὑπὸ Συρακοσίοις εὐθὺς
" γίγνοισθε, οἷς αὐτοὶ ἴστε οἵα γνώμη ἐπήλθετε, οἱ δ' 1
" ἐκεῖ ὑπὸ Λακεδαιμονίοις. ὥστε ἐν ἑνὶ τῷδε ὑπὲρ ἀμ-
" φοτέρων ἀγῶνι καθεστῶτες καρτερήσατε, εἴπερ ποτέ,
" καὶ ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες, ὅτι οἱ
" ἐν ταῖς ναυσὶν ὑμῶν νῦν ἐσόμενοι καὶ πεζοὶ τοῖς Ἀθη-
" ναίοις εἰσὶ καὶ νῆες καὶ ἡ ὑπόλοιπος πόλις καὶ τὸ μέ- 1
" γα ὄνομα τῶν Ἀθηνῶν, περὶ ὧν εἴ τίς τι ἕτερος ἑτέρου
" προφέρει ἢ ἐπιστήμῃ ἢ εὐψυχίᾳ, οὐκ ἂν ἐν ἄλλῳ μᾶλ-

ἤγουν κερδαίνειν. 5. Εἴτε ξυμβήσεταί τι ἄλλο] εὐφημότατα ᾠνίζετο τὴν ἧτταν. 6. Τούς τε ἐνθάδε πολεμίους] ἀπὸ κοινοῦ τὸ ὑπομιμνήσκω. 11. Ὑπὲρ ἀμφοτέρων] ἤγουν ὑπέρ τε τῆς ἐνταῦθα δουλείας ὑμῶν, καὶ τῆς ἐκεῖ τῶν ἄλλων Ἀθηναίων.

1. κρείττων d.f.i.
2. εὐτυχούσης ἑτέρας D.Q.g. ἑτέρας ἐυτυχούσης F.
ἡμῶν A.D.F.H.K.L.M.N.O. d.e.f.g.i.k. ἡ ὑμῶν B.
3. ὅτε A.
6. ἐκέκεινα K.
7. πλευσουμένους A. πλευσομένους B.D.F.f.g.i.
ὑμῶν B.
10. γένοισθε L.O,P. γίγνησθε e.
οἷα A.
ἀπῆλθετε G.
13. τε om. B.
ξύμπαντας D.g.
14. νῦν ὑμῶν c.
15. ἡ om. A.B.D.F.H.L.O.f. g.k.
Τὸ μέγα ὄνομα τῶν Ἀθηναίων] Lucret. VI. 2. Primæ frugiferos fœtus mortalibus ægris Dediderunt quondam *præclaro nomine* Athenæ. Wass.
νῦν
16. ἀθηναίων B. ἀθηναίων P.
καὶ περὶ O.
τι om. f.i.
ἕτερος] ἕροιτα P. om. Q.
17. προσφέρει b.

"λον καιρῷ ἀποδειξάμενος αὐτός τε αὐτῷ ὠφέλιμος γέ-
"νοιτο καὶ τοῖς ξύμπασι σωτήριος."

Ὁ μὲν Νικίας τοσαῦτα παρακελευσάμενος εὐθὺς ἐκέ-
λευε πληροῦν τὰς ναῦς. τῷ δὲ Γυλίππῳ καὶ τοῖς Συρα-
5 κοσίοις παρῆν μὲν αἰσθάνεσθαι, ὁρῶσι καὶ αὐτὴν τὴν πα-
ρασκευήν, ὅτι ναυμαχήσουσιν οἱ Ἀθηναῖοι, προηγγέλθη δὲ
αὐτοῖς καὶ ἡ ἐπιβολὴ τῶν σιδηρῶν χειρῶν. καὶ πρός τε
τἆλλα ἐξηρτύσαντο ὡς ἕκαστα, καὶ πρὸς τοῦτο· τὰς
γὰρ πρώρας καὶ τῆς νεὼς ἄνω ἐπὶ πολὺ κατεβύρσωσαν,
10 ὅπως ἂν ἀπολισθάνοι καὶ μὴ ἔχοι ἀντιλαβὴν ἡ χεὶρ ἐπι-
βαλλομένη. καὶ ἐπειδὴ πάντα ἑτοῖμα ἦν, παρεκελεύ-
σαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος, καὶ ἔλεξαν
τοιάδε.

65. Gylippus interim et Syracusani, cum hostium consilia animadvertissent, parant et ipsi se invicem ad navalem pugnam, et cum singuli duces, tum maxime Gylippus oratione

"Ὅτι μὲν καλὰ τὰ προειργασμένα, καὶ ὑπὲρ κα-
15 "λῶν τῶν μελλόντων ὁ ἀγὼν ἔσται, ὦ Συρακόσιοι καὶ
"ξύμμαχοι, οἵ τε πολλοὶ δοκεῖτε ἡμῖν εἰδέναι (οὐδὲ γὰρ

66—68. utuntur, ad animos suorum augendos accommodata.

4. Πληροῦν] ἀνδρῶν δηλονότι. 7. Καὶ ἡ ἐπιβουλὴ] ἡ ἀντίληψις. 8. Πρὸς τοῦτο] ἤγουν πρὸς τὴν ἀντιλαβὴν τῶν σιδηρῶν χειρῶν. 11. Παρεκελεύσαντο ἐκείνοις οἵ τε στρατηγοὶ καὶ Γύλιππος] πάντες ὑπὸ θάρσους ἐν τούτοις παρεκελεύοντο, οἱ στρατηγοὶ τῶν Συρακουσίων, ὡς ὑπὲρ αὐτῶν ἄντες τοῦ ἀγῶνος· οἱ τῶν Βοιωτῶν, ὡς ἀντιστάντων ἐν τῇ ἐφίδῳ τοῖς Ἀθηναίοις· Κορίνθιοι, ὡς ναυτικῇ καὶ πεζῇ δυνάμει βεβοηθηκότες μόνοι τῶν ἀπὸ Πελοποννήσου· Γύλιππος, ὡς στρατηγὸς ἐπὶ τούτῳ αὐτῷ παρὰ τῶν Λακεδαιμονίων ἐκπεμφθείς. πάντας δὲ εἰκὸς ἡδομένους καὶ ἀνὰ μέρος καὶ ὁμοῦ τὴν διάλεξιν ποιεῖσθαι πρὸς αὐτούς. 14. Τὰ προειργασμένα] ἤγουν ἡ προγεγενημένη

1. ἑαυτῶι B.
γένοιτο] εὐθὺς i.
3. τοσάδε B.
ἐκέλευσε P.d.
5. ὁρῶσι δὲ καὶ L.O.P.
7. ἐπιβολὴ A.B.D.F.H.O.c.f. g.k. cum Polluce I, 120. et Tusano; ceteri ἐπιβουλή.
8. τἆλλα] πολλὰ d.é.i.
ἐξηρτήσαντο H.d.
9. νεὼς τὰ ἄνω O.
κατεβύσωσαν B.
Κατεβύρσωσαν] E Thucydide laudat Pollux VII. 84. Wass.
10. καὶ ὅπως f.i.
ἀπολισθαίνοι e. ἀπόλισθαινει d.
ἔχῃ f.
ἀντιλαβῶν ἡ χεὶρ H. ἡ χεὶρ ἀντιλαβὴν i. qui mox ἐπιλαβόμενοι.
11. ἑτοῖμα πάντα B.
12. ἐκείνοις] ἐπ' ἐκείνοις K.M.
καὶ ὁ γύλιππος K.O.f.
14. καλὰ] κατὰ d.i.
15. καὶ οἱ ξύμμαχοι e.

" ἂν οὕτως αὐτῶν προθύμως ἀντελάβεσθε), καὶ εἴ τις
" μὴ ἐπὶ ὅσον δεῖ ἤσθησται, σημανοῦμεν. Ἀθηναίους γὰρ
" ἐς τὴν χώραν τήνδε ἐλθόντας πρῶτον μὲν ἐπὶ τῆς Σι-
" κελίας καταδουλώσει, ἔπειτ' εἰ κατορθώσειαν, καὶ
" τῆς Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ ἀρ- 5
" χὴν τὴν ἤδη μεγίστην τῶν τε πρὶν Ἑλλήνων καὶ τῶν
" νῦν κεκτημένους, πρῶτοι ἀνθρώπων ὑποστάντες τῷ ναυ-
" τικῷ, ᾧπερ πάντα κατέσχον, τὰς μὲν νενικήκατε ἤδη
" ναυμαχίας, τὴν δ' ἐκ τοῦ εἰκότος νῦν νικήσετε. ἄνδρες
" γὰρ ἐπειδὰν ᾧ ἀξιοῦσι προὔχειν κολουθῶσι, τό γ' ὑπό- 10
" λοιπον αὐτῶν τῆς δόξης ἀσθενέστερον αὐτὸ ἑαυτοῦ ἐστὶν
" ἢ εἰ μηδ' ὠήθησαν τὸ πρῶτον, καὶ τῷ παρ' ἐλπίδα τοῦ
" αὐχήματος σφαλλόμενοι καὶ παρὰ ἰσχὺν τῆς δυνά-
" μεως ἐνδιδόασιν· ὃ νῦν Ἀθηναίους εἰκὸς πεπονθέναι.
67. " * ἡμῶν δὲ τό τε ὑπάρχον πρότερον, ᾧπερ καὶ ἀνεπι- 15
" στήμονες ἔτι ὄντες ἀπετολμήσαμεν, βεβαιότερον νῦν,

νίκη. 1. Ἀντελάβεσθε] ἀντὶ τοῦ ᾐσθάνεσθε. 3. Ἐς τὴν χώραν τήνδε] ἤγουν κατὰ τῆσδε τῆς χώρας. 4. Εἰ κατορθώσειαν] ἤγουν τροπαιουχήσειαν. 9. Ἄνδρες γὰρ ἐπειδὰν ᾧ ἀξιοῦσι προὔχειν κολουσθῶσι] ὑπόταν γὰρ ἄνδρες ἐλαττωθῶσιν ἐν τούτῳ, ἐν ᾧ δοκοῦσιν ὑπερέχειν τῶν πέλας, εἰς τὰ λοιπὰ τῷ φρονήματι ταπεινοῦνται μᾶλλον, ἤπερ εἰ μηδὲ ὅλως τι κατ' ἀρχάς. 12. Καὶ τῷ παρ' ἐλπίδα] καὶ παρ' ἐλπίδα σφαλέντες, ἐφ' οἷς μέγα ἐφρύησαν, (φησίν,) αἶθις ἐν τοῖς ἔργοις ἐνδιδόασιν, ταπεινότεροι καὶ χείρους γινόμενοι τῆς ὑπαρχούσης δυνάμεως ἡμῶν.

1. ἂν om. L.
αὐτῶν οὕτως B.
2. ἐπὶ om. L.
δεῖ] δὴ A.i.
ᾐσθῆτε P.
3. τῆς] τῇ τῆς e. om. g.
4. ἔπειτα δὲ B.
5. πελοποννήσου τε καὶ B.
καὶ τὴν ἀρχὴν O.
6. τῶν ἤδη i.
7. ἀποστάντες P.
8. ἤδη recepi ex B.
10. κολουθῶσι A.F.O.f. ἀκολουθῶσι B.L.P.c. ἀκολουθοῦσι Q. κολασθῶσι e.g.
γε λοιπὸν B.
12. μὴ, om. δὲ, g.
14. ἀθηναίους νῦν f.
εἰκὸς] ἂς εἰκὸς i.
15. ὑμῶν A.B.F.H.K.L.M.O. P.c.e.f.g.i.k.
ὅπερ g.
16. βεβαιοτέρας f.

" καὶ τῆς δοκήσεως προσγεγενημένης αὐτῷ, τὸ κρατίστους
" εἶναι εἰ τοὺς κρατίστους ἐνικήσαμεν, δίπλασία ἑκά-
" στου ἡ ἐλπίς. τὰ δὲ πολλὰ πρὸς τὰς ἐπιχειρήσεις ἡ
" μεγίστη ἐλπὶς μεγίστην καὶ τὴν προθυμίαν παρέχεται.
5 " τά τε τῆς ἀντιμιμήσεως αὐτῶν τῆς παρασκευῆς ἡμῶν
" τῷ μὲν ἡμετέρῳ τρόπῳ ξυνήθη τέ ἐστι, καὶ οὐκ ἀνάρ-
" μοστοι πρὸς ἕκαστον αὐτῶν ἐσόμεθα· οἱ δ', ἐπειδὰν
" πολλοὶ μὲν ὁπλῖται ἐπὶ τῶν καταστρωμάτων παρὰ
" τὸ καθεστηκὸς ὦσι, πολλοὶ δὲ καὶ ἀκοντισταὶ χερ-
10 " σαῖοι, ὡς εἰπεῖν, Ἀκαρνᾶνές τε καὶ ἄλλοι ἐπὶ ναῦς
" ἀναβάντες, οἳ οὐδ' ὅπως καθεζομένους χρὴ τὸ βέλος
" ἀφεῖναι εὑρήσουσι, πῶς οὐ σφαλοῦσί τε τὰς ναῦς καὶ
" ἐν σφίσιν αὐτοῖς πάντες, οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κι-
" νούμενοι, ταράξονται; ἐπεὶ καὶ τῷ πλήθει τῶν νεῶν
15 " οὐκ ὠφελήσονται, εἴ τις καὶ τόδε ὑμῶν, ὅτι οὐκ ἴσαις

1. Τῆς δοκήσεως] τῆς ἀγαθῆς ἐλπίδος. 2. Διπλασία ἑκάστου ἡ ἐλπίς] τὸ μὲν διπλασία ἀντὶ τοῦ πολλαπλασία. οὐχ ἑκάστου δὲ ἡ ἐλπὶς διπλασία, ἀλλ' ἐξ ἑκάστου τῶν εἰρημένων διπλασιάζεται, ἐκ τοῦ καταπεπεπτωκέναι τοὺς Ἀθηναίους τοῖς φρονήμασι, κἀκ τοῦ δόκησιν ἔχειν ὅτι κρείττους ἐσμὲν, εἰ τοὺς κρείττους ἐνικήσαμεν. 5. Τά τε τῆς ἀντιμιμήσεως αὐτῶν] μιμούμενοι ἡμᾶς (φησίν) οἱ Ἀθηναῖοι, πολλοὺς ὁπλίτας ἐπιβιβάσαντες ἐπὶ τὰ καταστρώματα, ὅπερ ἡμῖν μὲν σύνηθές ἐστι καὶ διὰ τοῦτο οὐκ ἀνάρμοστον, ἐκείνοις δὲ ἐναντίον διὰ τὰ ἐπιφερόμενα. 9. Πολλοὶ δὲ ἀκοντισταὶ χερσαῖοι] ὡς ἐν τῇ πρώτῃ θαλασσίους εἶπε τοὺς ἐμπειρίαν ἔχοντας τῶν ναυτικῶν, οὕτως ἄρτι χερσαίους οὐ τοὺς ἠπειρώτας, ἀλλὰ τοὺς ἀπείρους θαλάσσης φησίν. 11. Οἳ οὐδ' ὅπως καθεζομένους] οἳ οὐδὲ καθεζόμενοι τοξεύειν καὶ ἀκοντίζειν δυνήσονται. μίαν δὲ ἀπόφασιν ἡγητέον λοίπειν, ἵνα ᾖ τὸ τλῆρες· οἱ δὲ οὐκ εὑρήσουσιν οὐδὲ ὅπως χρὴ τὸ βέλος καθεζομένους ἀφεῖναι. 12. Καὶ ἐν σφίσιν αὐτοῖς πάντες] τὸ ἑξῆς, καὶ ἐν σφίσιν αὐτοῖς πάντες ταράξονται. Οὐκ ἐν τῷ αὐτῶν τρόπῳ κινούμενοι] οὐ κατὰ τὰ σύνηθες

1. καὶ om. A.D.F.H.f.g. προσγεγενημένης A.B.D.F.H.K.L.N.O.Q.c.e.g.i. προγεγενημένης d.k. vulgo προσγενομένης.
3. τὰ δὲ—ἐλπὶς] om. A.D.F.H.L.O.Q.g.
5. τά τε] τάδε M.
7. πρὸς ἕκαστον B. πρὸς ἑκάστην L.O. vulgo πρὸς τὴν ἑκάστην. αὐτῷ D.
9. δὲ καὶ ἀκοντισταὶ A.B.D.F.H.L.O.P.f.g.k.
11. ἀναβάντες om. g.
12. ἀφῆναι g.
13. πάντες om. c. αὐτῷ K.N.i. ἑαυτῶν B.

" ναυμαχήσει, πεφόβηται· ἐν ὀλίγῳ γὰρ πολλαὶ ἀργό-
" τεραι μὲν ἐς τὸ δρᾶν τι ὧν βούλονται ἔσονται, ῥᾷσται
" δὲ ἐς τὸ βλάπτεσθαι ἀφ' ὧν ἡμῖν παρεσκεύασται. τὸ
" δ' ἀληθέστατον γνῶτε, ἐξ ὧν ἡμεῖς οἰόμεθα σαφῶς πε-
" πύσθαι· ὑπερβαλλόντων γὰρ αὐτοῖς τῶν κακῶν, καὶ 5
" βιαζόμενοι ὑπὸ τῆς παρούσης ἀπορίας, ἐς ἀπόνοιαν κα-
" θεστήκασιν, οὐ παρασκευῆς πίστει μᾶλλον ἢ τύχης
" ἀποκινδυνεύσει οὕτως ὅπως δύνανται, ἵν' ἢ βιασάμενοι
" ἐκπλεύσωσιν ἢ κατὰ γῆν μετὰ τοῦτο τὴν ἀποχώρησιν
" ποιῶνται, ὡς τῶν γε παρόντων οὐκ ἂν πράξαντες χεῖ- 10
68. " ρον. * πρὸς οὖν ἀταξίαν τε τοιαύτην, καὶ τύχην ἀν-
" δρῶν ἑαυτὴν παραδεδωκυῖαν πολεμιωτάτων, ὀργῇ προσ-
" μίξωμεν, καὶ νομίσωμεν ἅμα μὲν νομιμώτατον εἶναι
" πρὸς τοὺς ἐναντίους, οἳ ἂν ὡς ἐπὶ τιμωρίᾳ τοῦ προσπε-
" σόντος δικαιώσωσιν, ἀποπλῆσαι τῆς γνώμης τὸ θυμού- 15

ἕκαστος ἐπὶ τῶν νεῶν κινούμενος. 1. Ἐν ὀλίγῳ] διαστήματι. 2. Ῥᾷσται δὲ ἐς τὸ βλάπτεσθαι] ῥᾳδίως (φησί) βλαβήσονται ὑπὸ τῶν ἡμῖν παρεσκευασμένων. 7. Οὐ παρασκευῆς πίστει μᾶλλον] οὐ τῇ παρασκευῇ δηλονότι πιστεύοντες, ἀλλὰ διακινδυνεῦσαι σκεύδωντες, ἐπὶ τῇ τύχῃ τὸ μέλλον ποιοῦνται. 11. Καὶ τύχην ἀνδρῶν] καὶ πρὸς τύχην ἀνδρῶν πολεμίων ἡμῖν ἠττημένην. 13. Νομίσωμεν ἅμα] νομιμώτατόν ἐστι (φησίν) ὀργῇ προσμίξαι τοῖς ἐναντίοις. προσῆκον γὰρ τοῖς τιμωρουμένοις τοὺς ἀδίκως ἐπελθόντας παρίστασθαι τοῦτο, καὶ κρίνειν, ὅτι δεῖ ἀποπλῆσαι τὸν θυμὸν ἐν τῇ τιμωρίᾳ τοῦ ἀδικήμα-

2. ἰσόμεναι e.
2. βᾶστα K.M.e.
3. δὲ] γὰρ K.
4. ἀληθέστερον Q.
5. ὑπερβαλόντων K.
τῶν om. D.g.
6. Ἐς ἀπόνοιαν καθεστήκασιν, οὐ παρασκευῆς πίστει μᾶλλον, ἢ τύχης ἀποκινδυνεύσει, οὕτως ὅπως δύνανται] Suspicor, Scholiasten legisse ἀποκινδυνεῦσαι. Hoc multo clariorem reddit sententiam; et oratio apte in hunc modum procedit: ἐς ἀπόνοιαν καθεστήκασιν ἀποκινδυνεῦσαι οὕτως, ὅπως δύνανται, οὐ μᾶλλον πίστει παρασκευῆς, ἢ τύχης. eo dementiæ venerunt, ut non male Acacius, *ut, non tam adparatu suo, quam incerta fortunæ alea, confisi, periculum, quocumque modo possunt, facere velint.* Duk.
8. ἵν' ἢ] ἵνα Q.
10. πράξαντες A. vulgo πράξοντες.
11. πρὸς] πως f.
12. αὐτὴν B.
13. νομίσωμεν G.K.
14. ὡς] ἁπλῶς L.O.P.
ἐπὶ τιμωρίᾳ τοῦ προσπεσόντος om. L.O.
15. τῆς γνώμης om. g.

" μενον, ἅμα δὲ ἐχθροὺς ἀμύνασθαι ἐγγενησόμενον ἡμῖν,
" καὶ τὸ λεγόμενόν που ἥδιστον εἶναι. ὡς δὲ ἐχθροὶ καὶ
" ἔχθιστοι, πάντες ἴστε, οἵ γε ἐπὶ τὴν ἡμετέραν ἦλθον
" δουλωσόμενοι, ἐν ᾧ, εἰ κατώφθωσαν, ἀνδράσι μὲν ἂν
5 " τἄλγιστα προσέθεσαν, παισὶ δὲ καὶ γυναιξὶ τὰ ἀπρε-
" πέστατα, πόλει δὲ τῇ πάσῃ τὴν αἰσχίστην ἐπίκλησιν.
" ἀνθ' ὧν μὴ μαλακισθῆναί τινα πρέπει, μηδὲ τὸ ἀκιν-
" δύνως ἀπελθεῖν αὐτοὺς κέρδος νομίσαι. τοῦτο μὲν γὰρ
" καὶ ἐὰν κρατήσωσιν, ὁμοίως δράσουσι· τὸ δὲ πραξάν-
10 " των ἐκ τοῦ εἰκότος ἃ βουλόμεθα, τούσδε τε κολασθῆ-
" ναι, καὶ τῇ πάσῃ Σικελίᾳ καρπουμένῃ καὶ πρὶν ἐλευ-
" θερίαν βεβαιοτέραν παραδοῦναι, καλὸς ὁ ἀγών. καὶ
" κινδύνων οὗτοι σπανιώτατοι, οἳ ἂν ἐλάχιστα ἐκ τοῦ
" σφαλῆναι βλάπτοντες πλεῖστα διὰ τὸ εὐτυχῆσαι
15 " ὠφελῶσιν."

69. Cum vero Nicias parum sufficere vide-

Καὶ οἱ μὲν τῶν Συρακοσίων στρατηγοὶ καὶ Γύλιππος, τοιαῦτα καὶ αὐτοὶ τοῖς σφετέροις στρατιώταις παρακελευσάμενοι, ἀντεπλήρουν τὰς ναῦς εὐθύς, ἐπειδὴ καὶ τοὺς

τος. 2. Καὶ τὸ λεγόμενόν που] τὸ ἐχθροὺς τιμωρήσασθαι. 4. Ἐν ᾧ] ἐν τῷ δουλώσασθαι ἡμᾶς. 5. Τὰ ἀπρεπέστατα] τοὺς ἀνδραποδισμούς. 6. Τὴν αἰσχίστην ἐπίκλησιν] τὴν δουλείαν. 12. Καλὸς ὁ ἀγών, καὶ κινδύνων οὗτοι σπανιώτατοι] ἡ διάνοια, καλὸς ἡμῖν ὁ ἀγών ἐστί. καὶ γὰρ, πραξάντων ἡμῶν ὅσα βουλόμεθα, οὗτοί τε κολασθήσονται καὶ ἡ πᾶσα Σικελία ἐλευθερωθήσεται. 18. Τοὺς Ἀθηναίους ᾐσθάνοντο] πληροῦντας διηνοίγοντο τὰς ναῦς.

1. ἀμύνεσθαι D.g.i.
ἐκγενησόμενον B.
2. καὶ om. i.
5. τἄλγιστα Q. ceteri τὰ ἄλγιστα.
προσέθηκαν c.
7. μήτε L.O.k.
9. καὶ om. K.
τὸ] τότε L.O.k.
πραξάντων ἡμῶν ἐκ B.
τε om. G.K.c. τε καὶ d.
11. καὶ ἐν τῇ e.
καρπουμένῳ B.
καὶ om. D.g.
12. ἀποδοῦναι c.
15. ὠφελῶσιν B. vulgo ὠφελοῦσι.
17. στρατιώταις om. c.i.
παρασκευασάμενοι O.
18. Ἐπειδὴ καὶ τοὺς Ἀθηναίους ᾐσθάνοντο] Recte Scholiastes supplet, πληροῦντας τὰς ναῦς. Crebre sunt hoc genus ellipses in Thucydide III. 55. Ἐν μέντοι τῷ πε-

rentur et ea, quæ paraset, et ea, quæ oratione exposuisset, denuo conversus ad trierarchos, singulos exstimulat, partarum ab ipsis laudum, majorum, patriæ commemoratione. Tum peditatum in littore constituit ipse; Demosthenes vero, cum

Ἀθηναίους ἠσθάνοντο. ὁ δὲ Νικίας ὑπὸ τῶν παρόντων ἐκπεπληγμένος, καὶ ὁρῶν οἷος ὁ κίνδυνος καὶ ὡς ἐγγὺς ἤδη ἦν, ἐπειδὴ καὶ ὅσον οὐκ ἔμελλον ἀνάγεσθαι, καὶ νομίσας, ὅπερ πάσχουσιν ἐν τοῖς μεγάλοις ἀγῶσι, πάντα τε ἔργῳ ἔτι σφίσιν ἐνδεᾶ εἶναι καὶ λόγῳ αὐτοῖς οὔπω ἱκανὰ εἰρῆσθαι, αὖθις τῶν τριηράρχων ἕνα ἕκαστον ἀνεκάλει, πατρόθεν τε ἐπονομάζων, καὶ αὐτοὺς ὀνομαστὶ καὶ φυλὴν, ἀξιῶν τό τε καθ' ἑαυτὸν, ᾧ ὑπῆρχε λαμπρότητός τι, μὴ προδιδόναι τινὰ, καὶ τὰς πατρικὰς ἀρετὰς, ὧν ἐπιφανεῖς ἦσαν οἱ πρόγονοι, μὴ ἀφανίζειν, πατρίδος τε τῆς ἐλευθεραστάτης ὑπομιμνήσκων καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου πᾶσιν ἐς τὴν δίαιταν ἐξουσίας, ἄλλα τε λέγων ὅσα ἐν τῷ

4. Πάσχουσιν] οἱ ἄνθρωποι δηλονότι. 6. Πατρόθεν τε ἐπονομάζων] Ὅμηρος· Πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον (Il. 10, 68). 8. Ἀξιῶν τό τε καθ' ἑαυτόν] ἀξιῶν (φησί) μηδένα προδιδόναι τὴν οἰκείαν ἀρετήν. 9. Ὧν ἐπιφανεῖς ἦσαν] τοῦτο καθ' ὑπερβατόν. συντακτέον δὲ τῷ πατρόθεν ἐπονομάζων. 11. Καὶ τῆς ἐν αὐτῇ ἀνεπιτάκτου] καὶ τῆς ἐν τῇ πατρίδι δηλονότι αὐτεξουσίου βιοτῆς. 12. ἄλλα τε λέγων] καθ' ὑπερβατόν. συντακτέον δὲ τῷ παραπλήσια, ἵνα ᾖ τὸ ἑξῆς· ἄλλα τε λέγων, οἷα οἱ ἐν τῷ τοιούτῳ

λέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ ἡμῶν οὔτε ἐπάθετε, οὔτε ἐμελλήσατε, nimir. πάσχειν. V. 80. Οὐ μέντοι εὐθύς γε ἀπέστη τῶν Ἀθηναίων, ἀλλὰ διενοήθη, (nempe ἀποστῆναι αὐτῶν,) ὅτι καὶ τοὺς Ἀργείους ἐώρα, scil. ἀποστάντας, ut Schol. VI. 76. Τῇ δὲ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον, καὶ τὰ ἐνθάδε νῦν πειρῶνται, nempe ἔχειν. Observavit supra et alia Henr. Stephanus. Duk.

2. ὁρῶν om. f.

3. ἦν om. B.

4. Ὅπερ πάσχουσιν] Et hic bene Scholiastes, οἱ ἄνθρωποι δηλονότι. Tertiis personis verborum et Græci et Latini sæpe ita utuntur, ut non exprimant nomen, quod addendum erat. Vide Scaligerum ad Catull. Carm. II. Langium ad Ciceron. I. de Offic. 7. et Lael. XXI. et Perizonium ad Sanct. Minerv. IV. 4. in ellipsi v. *homines*. Et sic sæpe Scriptores sacri N. T. Matth. V. 11. et. 15. VII. 16. IX. 17. et alibi: quæ, non video, cur quidam Viri Docti ad Hebraïsmum referre voluerint. Duk.

πάντα τὰ ἔργα i. ἔργα etiam Q.

5. ἔτι om. A.D.F.H.Q.g.i. ἐνδεᾶ ἔτι σφίσιν K. σφίσιν om. G.

6. Πατρόθεν τε ἐπονομάζων] Vide quæ de hoc genere loquendi scripserunt Interpretes Æliani, Kuhnius et Perizonius ad Var. Hist. 6, 2. Duk.

8. τό τε] τε τὸ K.

ὧν i.

τι] τε A.

10. ἀτιμάζειν d.i.

12. ἐν τῷ τοιούτῳ] ἐν τούτῳ P. ἑαυτῷ τοιούτῳ e.

τοιούτῳ ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι, οὐ πρὸς τὸ δεινεῖν τοὺς ἀρχαιολογεῖν φυλαξάμενοι, εἴποιεν ἄν, καὶ ὑπὲρ ἁπάντων παραπλήσια ἔς τε γυναῖκας καὶ παῖδας καὶ θεοὺς πατρῴους προφερόμενα, ἀλλ' ἐπὶ τῇ παρούσῃ ἀκμῇ ὠφέλιμα νομίζοντες ἐπιβοῶνται. καὶ ὁ μὲν οὐχ ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα νομίσας παρῃτήσθαι, ἀποχωρήσας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν, καὶ παρέταξεν ὡς ἐπὶ πλεῖστον ἐδύνατο, ὅπως ὅτι μεγίστη τοῖς ἐν ταῖς ναυσὶν ὠφελία ἐς τὸ θαρσεῖν γίγνοιτο. ὁ δὲ Δημοσθένης καὶ Μένανδρος καὶ Εὐθύδημος (οὗτοι γὰρ ἐπὶ τὰς ναῦς τῶν Ἀθηναίων στρατηγοὶ ἐπέβησαν) ἅπαντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου, εὐθὺς ἔπλευν πρὸς τὸ ζεῦγμα τοῦ

Menandro et Euthydemo, classem adversus claustraportus duxit.

ἤδη τοῦ καιροῦ ὄντες ἄνθρωποι εἴποιεν ἄν, καὶ παραπλήσια. ἡ δὲ διάνοια· ἄλλα τε λέγων, ὅσα ἐν τῇ τοιαύτῃ περιστάσει καθεστῶτες ἄνθρωποι λέξαιεν ἄν, καὶ παραπλήσια, ὑπέρ τε τῶν ἄλλων πάντων, καὶ γυναικῶν καὶ παίδων καὶ θεῶν· οὐ φυλαττόμενοί τι αὐτῶν εἰπεῖν, μὴ δόξωσι τοῖς ἀκροαταῖς ἀρχαιολογεῖν, ἀλλὰ ὠφέλιμα πρὸς τὴν παροῦσαν περίστασιν νομίζοντες. 5. Καὶ ὁ μὲν οὐχ ἱκανὰ μᾶλλον ἢ ἀναγκαῖα] καὶ ὁ Νικίας ἀναγκαῖα μᾶλλον ἤπερ ἱκανά. 12. Πρὸς τὸ ζεῦγμα τοῦ λιμένος] ὃ δηλαδὴ ἔζευξαν οἱ Συρακούσιοι, ἀποφράττ-

1. ὄντος F.H.K.L.O.b.c.d.e.f.g.k.
2. τινὰ Q.f.i.
3. γυναῖκάς τε καὶ K.
4. προσφερόμενα B.
5. ἐπιβοῶντες H. ἐπιβοῶντα D.
6. ἢ] καὶ A.D.F.H.g. et, qui νομίσας καὶ ἀναγκαῖα, κ. ἀποχωρίσας G.
7. τὸν] τὸ G. παρέτασσεν K.
8. ἠδύνατο O.
9. δὲ] μὲν d.i.

Ὁ δὲ Δημοσθένης—τροπαῖον ἔστησαν] Dionysius Halicarn. Tom. II. pag. 149. Wass. Dionysius magnopere laudat narrationem hujus prœlii. Duk.

10. εὔδημος A.D.F.b.c.e.f.g.k. εὔδημος d.i.
11. ἀθηναίων οἱ στρατηγοὶ i.
12. ἑαυτῶν om. i.

Πρὸς τὸ ζεῦγμα] Citat Etymol. M. in voc. ἡ ἔζευγμένη σχεδία, inquit, οὐ τὸ σχοινίον. Vide cap. 59. Ζεύγματα ποταμῶν alicubi vocat Dionys. Halicarn. Wass. Ζεῦγμα τοῦ λιμένος Budæus vertit *fauces portus obseptas.* Thucydides ita vocat opus Syracusanorum, quo fauces magni portus clauserant τρήρεσι πλαγίοις, καὶ πλοίοις, καὶ δικάτοις, cap. 59. instar pontis navalis, quem ζεῦγμα vocant Græci, Arrianus, Eunapius, et alii apud Lipsium II. Poliorceticor. ult. Duk.

70. Itaque confestim prœlium summa utrimque alacritate commissum est,

λιμένος καὶ τὸν παραλειφθέντα διέκπλουν, βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω. *προεξαγαγόμενοι δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶ παραπλησίαις τὸν ἀριθμὸν καὶ πρότερον, κατά τε τὸν ἔκπλουν μέρει αὐτῶν ἐφύλασσον καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως παντα- 5 χόθεν ἅμα προσπίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παραβοηθοῖ, ἥπερ καὶ αἱ νῆες κατίσχοιεν. ἦρχον δὲ τοῦ ναυτικοῦ τοῖς Συρακοσίοις Σικανὸς μὲν καὶ Ἀγάθαρχος, κέρας ἑκάτερος τοῦ παντὸς ἔχων, Πυθὴν δὲ καὶ οἱ Κορίνθιοι τὸ μέσον. ἐπειδὴ δ' οἱ Ἀθηναῖοι προσέμισγον 10 τῷ ζεύγματι, τῇ μὲν πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν τεταγμένων νεῶν πρὸς αὐτῷ, καὶ ἐπειρῶντο λύειν τὰς

ταντες τὸ στόμα τοῦ λιμένος. 1. Καὶ τὸν καταλειφθέντα διέκπλουν] τοῦτο τὸ μέρος οὐκ ἔζευκτο, ἀλλ' ἀνεφγει, τοῦ στόματος. ταυτέστι παρελέλειπτο, ὥστε μὴ ἔζεῦχθαι. 2. Βιάσασθαι ἐς τὸ ἔξω] μετὰ βίας ἐξελθεῖν. 9. Τοῦ παντὸς] στρατεύματος δηλονότι.

1. παραλειφθέντα A.F.H.L. O.P.e.f.g. cum Dionysio: παραληφθέντα D.N.d.i.k. ceteri καταλειφθέντα. Malim περιλειφθέντα.

Post διέκπλουν quidam scripti et editi libri atque etiam Dionys. Halic. non habent distinctionem. Recte dici potest βιάζεσθαι τὸν διέκπλουν, ut IV. 9. 11. βιάζεσθαι τὴν ἀπόβασιν; ibid. 36. τὴν ἄφοδον; supra hoc lib. cap. 22. τὸν ἔσπλουν; et infra cap. 70. τὸν ἔκπλουν. Sed propter copulam καὶ nihil mutandum arbitror. Et illa, βουλόμενοι βιάσασθαι εἰς τὸ ἔξω, possunt per se subsistere. Nec opus fuisset addi εἰς τὸ ἔξω, si βιάσασθαι cum διέκπλουν conjungendum esset: nam in hoc illud continetur, et qui τὸν διέκπλουν βιάζεται, idem etiam εἰς τὸ ἔξω βιάζεται. Et alioqui βιάζεσθαι cum præpositione εἰς obvium est. Lucianus in Judicio Vocal. in princ. ἀπὸ τῆς καθ' αὑτὰ τάξεως εἰς ἀλλοτρίαν βιάζεσθαι. Adde, quæ Raphelius adnotavit ad Luc. XVI. 16. Duk.

2. εἰς] πρὸς N.
τὰ g.
προεξαγόμενοι g. προεξαναγόμενοι Dionysius.
4. αὐτὸν D.g.
6. ἅμα om. K.
7. ἅμα αὐτοῖς B.
παραβοηθοῖ L.O.P.c. παραβοηθεῖ K. παρεβοήθει Dionysius.
8. σιλανὸς e.
9. ἑκατέρος Q.
10. οἱ] om. B. καὶ οἱ N.Q. οἱ ἄλλοι A.F.H.L.N.O. cum Dionysio: ἄλλοι οἱ D.g.
12. τεταγμένων] τε ταικτῶν i.

κλήσεις· μετὰ δὲ τοῦτο, πανταχόθεν σφίσι τῶν Συρακοσίων καὶ ξυμμάχων ἐπιφερομένων, οὐ πρὸς τῷ ζεύγματι ἔτι μόνον ἡ ναυμαχία ἀλλὰ καὶ κατὰ τὸν λιμένα ἐγίγνετο, καὶ ἦν καρτερὰ καὶ οἵα οὐχ ἑτέρα τῶν προτέρων. πολλὴ μὲν γὰρ ἑκατέροις προθυμία ἀπὸ τῶν ναυτῶν ἐς τὸ ἐπιπλεῖν, ὁπότε κελευσθείη, ἐγίγνετο, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους· οἵ τε ἐπιβάται ἐθεράπευον, ὅτε προσπέσοι ναῦς νηΐ, μὴ λείπεσθαι τὰ ἀπὸ τοῦ καταστρώματος τῆς ἄλλης τέχνης· πᾶς τέ τις, ἐν ᾧ προσετέτακτο, αὐτὸς ἕκαστος ἠπείγετο πρῶτος φαίνεσθαι. ξυμπεσουσῶν δὲ ἐν ὀλίγῳ πολλῶν νεῶν (πλεῖσται γὰρ δὴ αὗται ἐν ἐλαχίστῳ ἐναυμάχησαν· βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι) αἱ μὲν ἐμβολαὶ διὰ τὸ μὴ εἶναι τὰς ἀνακρούσεις καὶ δι-

1. Σφίσι] τοῖς Ἀθηναίοις. 4. Τῶν προτέρων] ναυμαχιῶν δηλοῦντι. 8. Οἵ τε ἐπιβάται ἐθεράπευον] οἱ ἐπιβάται (φησίν) ἐπεμελοῦντο (τοῦτο γάρ ἐστι τὸ ἐθεράπευον) καὶ ἠγωνίζοντο, ὅπως μὴ λείπωντο τῇ προθυμίᾳ οἱ ἐπὶ τοῦ καταστρώματος ὄντες τῆς τε τῶν ναυτῶν καὶ κυβερνητῶν τέχνης. 11. Ἐν ὀλιγῳ] διαστήματι

1. κλείσεις L.O.e.i.k. cum Dionysio.

Eadem varietas scripturæ in hac voce est II. 94. in ξύγκλεισις V. 71. et fere ubique in quibusdam temporibus verbi κλείω, et quæ ex eo componuntur. Duk.

τῶν συρακ. σφίσι D.Q.g.

2. καὶ τῶν ξυμμάχων d.e.i. et Dionysius.

οὐ μόνον πρὸς τῷ ζεύγματι ἡ Dionysius.

3. μόνον ἦν ἡ B.

ἀλλὰ κατὰ L.O.P.k.

4. Τῶν πρότερον] Thucydides IV. 38. Τῶν πρότερον ἀρχόντων τοῦ μὲν πρότου τεθνηκότος. VII. 18. Εἰρημένον ἐν ταῖς πρότερον ξυνθήκαις. Vide ad VI. 9. Duk.

προτέρων A. B. D. F. H. K. L. N.O.Q.g.i.k. vulgo πρότερον.

5. μὲν om. P.

γὰρ om. c.i.

6. πλεῖν e.

κελευθείη G.

ἐγενετο L.

Πολλὴ δὲ — ἀλλήλους] Thom. Magister in ἀγών. Ἀντιτέχνησις ex hoc loco habet Pollux VII. 7. Ἀντιτεχνῶν φθόνος Dionys. Halic. III. Antiquit. 72. De voce ἀγωνισμὸς Pollux IX. 42. Wass.

ἡ] καὶ Q. om. P.

7. καὶ ὁ ἀγωνισμὸς P.

8. ὁπότε B.

11. πρῶτον O.

13. ἀπέλειπον P.k.

14. ἐκβολαὶ A.B.D.F.H.L.O. g.i.k. cum Dionysio. ἐσβολαὶ d.

καὶ om. D.g.

διέκπλου B.

ἐκπλους ἀλύγαι ἐγίγνοντο, αἱ δὲ προσβαλαὶ, ὡς τύχοι ναῦς νηὶ προσπεσοῦσα ἢ διὰ τὸ φεύγειν ἢ ἄλλῃ ἐπιπλέουσα, πυκνότεραι ἦσαν. καὶ ὅσον μὲν χρόνον προσφέροιτο ναῦς, οἱ ἀπὸ τῶν καταστρωμάτων τοῖς ἀκοντίοις καὶ τοξεύμασι καὶ λίθοις ἀφθόνως ἐπ' αὐτὴν ἐχρῶντο· ἐπειδὴ δὲ προσμίξειαν, οἱ ἐπιβάται εἰς χεῖρας ἰόντες ἐπειρῶντο ταῖς ἀλλήλων ναυσὶν ἐπιβαίνειν. ξυνετύγχανέ τε πολλαχοῦ διὰ τὴν στενοχωρίαν τὰ μὲν ἄλλοις ἐμβεβληκέναι, τὰ δὲ αὐτοὺς ἐμβεβλῆσθαι, δύο τε περὶ μίαν καὶ ἔστιν ἃ καὶ πλείους ναῦς κατ' ἀνάγκην ξυνηρτῆσθαι, καὶ τοῖς κυβερνήταις τῶν μὲν φυλακὴν τῶν δ' ἐπιβουλὴν, μὴ καθ' ἓν ἕκαστον κατὰ πολλὰ δὲ πανταχόθεν, περιεστάναι, καὶ τὸν κτύπον μέγαν ἀπὸ πολλῶν [τῶν] νεῶν ξυμπιπτουσῶν ἔκπληξίν τε ἅμα καὶ ἀπαστέρησιν τῆς ἀκοῆς ὧν οἱ κελευσταὶ φθέγγοιντο παρέχειν. πολλὴ γὰρ δὴ ἡ παρακε-

δηλονότι. 1. Αἱ δὲ προσβαλαὶ] συνεχῶς (φησὶν) ἐγίγνοντο αἱ συμπλοκαὶ τῶν νεῶν. αἱ μὲν γὰρ αὐτῶν φεύγουσαι ἐπεφέροντο ἑτέραις, καὶ οὐ συνεπλέκοντο, αἱ δὲ ἑκοντὶ ἐπιπλέουσαι προσέβαλλον. 3. Προσφέροιτο] ἀντὶ τοῦ προσήλαυνεν. 5. Ἐπ' αὐτὴν] ἤγουν κατ' αὐτῆς. 10. Ξυνηρτῆσθαι] συμπεπλέχθαι. Καὶ τοῖς κυβερνήταις] τοὺς κυβερνήτας, εἴτε φυλάττεσθαι δέοι εἴτε ἐπιβουλεύειν, μὴ καθ' ἓν μέρος, οἷον δεξιὸν ἢ ἀριστερὸν, τοῦτο ποιεῖν, ἀλλὰ πανταχοῦ. 13. Ξυμπιπτουσῶν] ἀλλήλαις δηλονότι. 14. Καὶ ἀπαστέρησιν τῆς ἀκοῆς] καὶ μὴ δύνασθαι τῶν κελευσμάτων ἀκούειν. 15. Πολλὴ γὰρ δὴ παρακέλευσις] τοῖς

1. ἐγένοντο N.f. ἐγίγνετο B.
τύχοι] ἔτυχον B.
2. ξυμπεσοῦσα L.O. συμπεσοῦσα P.
φυγεῖν A.D.F.H.Q.g. cum Dionysio.
4. τοῖς om. K.
7. ναυσὶν ἀλλήλων K.
συνετύγχανε D.F.H.K.c.k.
8. ἀλλήλοις Q.
ἐμβεβηκέναι P.d.i.
Ἐμβεβληκέναι] Supra II. 91. Ἡ Ἀττικὴ ναῦς τῇ διακοσίᾳ Λεκαδίᾳ ἐμβάλλει μέσῃ. Et passiva forma VII. 34. Ἀντίπωροι ἐμβαλλόμεναι, καὶ ἀναῤῥαγεῖσαι τὰς παρεξειρεσίας ὑπὸ τῶν Κορινθίων νεῶν, adversis proris ictae. Duk.
9. τε] δὲ L.O.k.
ἃ] ὃ K. ὃ Q.
11. μὴ] καὶ F.H.L.O.P.Q.k.
12. πανταχόθεν] πολλαχόθεν d.
13. μέγαν om. Dionysius: μέγαν λίαν K.
τῶν om. A.B.D.F.H.K.N.d. e.f.g.i. et Dionysius.
συμπιπτουσῶν d.i.
15. ἐφθέγγοντο Dionysius: φθέγγονται i.
δὴ om. Q. Articulum servavit B.

λευσις καὶ βοὴ ἀφ' ἑκατέρων τοῖς κελευσταῖς κατά τε τὴν τέχνην καὶ πρὸς τὴν αὐτίκα φιλονεικίαν ἐγίγνετο, τοῖς μὲν Ἀθηναίοις βιάζεσθαί τε τὸν ἔκπλουν ἐπιβοῶντες, καὶ περὶ τῆς ἐς τὴν πατρίδα σωτηρίας ὧν, εἴ ποτε καὶ αὖθις, προθύμως ἀντιλαβέσθαι, τοῖς δὲ Συρακοσίοις, καὶ ξυμμάχοις, καλὸν εἶναι κωλῦσαί τε αὐτοὺς διαφυγεῖν, καὶ τὴν οἰκείαν ἑκάστους πατρίδα νικήσαντας ἐπαυξῆσαι. καὶ οἱ στρατηγοὶ προσέτι ἑκατέρων, εἴ τινά που ὁρῷεν μὴ κατ' ἀνάγκην πρύμναν κρουόμενον, ἀνακαλοῦντες ὀνομαστὶ τὸν τριήραρχον ἠρώτων, οἱ μὲν Ἀθηναῖοι, εἰ τὴν πολεμιωτάτην γῆν οἰκειοτέραν ἤδη τῆς οὐ δι' ὀλίγου πόνου κεκτημένης θαλάσσης ἡγούμενοι ὑποχωροῦσιν, οἱ δὲ Συρακόσιοι, εἰ οὓς σαφῶς ἴσασι προθυμουμένους Ἀθηναίους

μὲν κελευσταῖς, ὑπὸ τῶν κελευστῶν. τὸ δὲ ἐπιβοῶντες, συνταττόμενον τῷ "πολλὴ γὰρ δὴ ἡ παρακέλευσις ἀφ' ἑκατέρων τοῖς κελευσταῖς" ἐσχημάτισται. ἦν γὰρ κατὰ φύσιν τὸ πολλὰ γὰρ δὴ οἱ κελευσταὶ παρακελεύοντο. 1. Κατὰ τὴν τέχνην] τέχνην λέγει τὴν ἰδίαν, τὴν κελευστικήν. 3. Βιάζεσθαί τε τὸν ἔκπλουν] μετὰ βίας καὶ ἰσχύος πορεύεσθαι. 8. Ἑκατέρων] τῶν Συρακουσίων καὶ Ἀθηναίων. 10. Οἱ μὲν Ἀθηναῖοι] οἱ τῶν Ἀθηναίων στρατηγοὶ ἐπιτιθέασι τῶν πρύμναν κρουσαμένων τριηραρχῶν καὶ οἷον εἰς γῆν ἀποβαίνειν διανουμένων, εἰ τὴν γῆν τῶν Συρακουσίων, ἥτις ἐστὶ πολεμία, νομίζουσιν οἰκειοτέραν εἶναι τῆς μετὰ πόνου κεκτημένης θαλάττης, τουτέστιν ἧς

1. βοὴ] ἀκοὴ G.L.O.P.k.
κατά τε B. cum Dionysio: ceteri κατά.
2. αὐτίκα om. Q.
φιλονεικίαν G.
3. Ἐπιβοῶντες] Pro ἐπιβοῶσι. Multa sunt hujusmodi in Thucydide. III. 36. Ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι — ἐπικαλοῦντες. VI. 24. Ἔρως ἐνέπεσε τοῖς πᾶσιν ὁμοίως ἐπικαλεῖσθαι — τοῖς δ' ἐν ἡλικίᾳ τῆς τε ἀπιστίας οἴκτῳ ἥκειν καὶ θεωρίας — καὶ εὐθαλεῖς ὄντες σωθήσεσθαι. Add. quæ dicta sunt ad VII. 42. Dux.
4. τὴν om. P.
ἔπερ ποτε P.
5. ἀντιλαμβάνεσθαι g. cum Dionysio.
καὶ τοῖς ξυμμάχοις i.
7. ἑκάστου D.F.H.f.g. et Dionys.
9. κατ'] δι' B.
11. οὐ om. L.
πόνου Accessit ex B. et Scholiis et Dionysii cod. Dudith. Conf. 2, 36. et 62.
12. ὑποχωροῦσιν B. ceteri ἀποχωροῦσιν.
13. εἰ om. B.
Ἀθηναίους παντὶ τρόπῳ διαφυγεῖν] In his Ἀθηναίους suspectum esse potest, ut ab interpretatione in margine scripta profectum. Dux.

παντὶ τρόπῳ διαφυγεῖν, τούτους αὐτοὶ φεύγοντας φευγουσιν. *ὅ τε ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας, πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε, φιλονεικῶν μὲν ὁ αὐτόθεν περὶ τοῦ

71. spectante e terra utroque peditatu, maximo

ἐγένοντο ἄρχοντες, μετὰ πολλῶν πόνων θαλαττοκρατήσαντες. 2. Ἰσορρόπου] Ἰσοπαλοῦς. 3. Πολὺν τὸν ἀγῶνα καὶ ξύστασιν τῆς γνώμης εἶχε] ἀντὶ τοῦ ἰσχυρῶς ἠγωνίων καὶ τὰς διανοίας συνετέταντο. 4. Ὁ αὐτόθεν] ὁ Συρακούσιος στρατός. Περὶ τοῦ πλείονος ἤδη καλοῦ] ὑπὲρ τοῦ νικῆσαι δηλαδή.

1. τούτοις αὐτοῖς i.
φεύγουσιν] ἔχουσιν e.f.
2. ἀμφότερον B.

Ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας] Hæc, et quæ paullo post p. 286. c. fin. dicit Thucydides, Plutarchus in libro de Gloria Atheniens. pag. 618. Ed. Steph. quibusdam mutatis, ita descripsit: Καὶ πάλιν ὁ ἐν τοῖς Σικελικοῖς ἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων ἰσορρόπου τῆς ναυμαχίας καθεστηκυίας ἄλαστον ἀγῶνα καὶ σύνταξιν τῆς γνώμης ἔχων διὰ τὰς συντάξεις, ὡς συνεχὲς τῆς ἀμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς, ἴσα τῇ δόξῃ περιδεῶς συμπνέων τῇ διαθέσει καὶ τῇ διαστρώσει τῶν γινομένων γραφικῆς ἐνεργείας. In Ed. Francof. Latinæ versionis Xylandri his in margine adpositi sunt asterisci, depravatæ scripturæ nota. Et, Xylandrum ea non intellexisse, ex illius interpretatione cognosci potest. Nec mirum: nam quædam eorum, in primis hæc διὰ τὰς συντάξεις, ὡς συνεχὲς, Cimmeriis tenebris obscuriora sunt. Sed, pro eo, quod ibi est, σύνταξιν τῆς γνώμης· cœpi dubitare, an potius legendum sit, σύντασιν τῆς γνώμης· cujus suspicionis mihi auctor fuit Scholiastes, qui etiam in ipso Thucydide ξύντασιν, non ξύστασιν, videtur legisse. Et hoc fortassis non deterius est eo, quod editur. Nam, σύντασιν τῆς γνώμης recte dici posse pro *intento studio* et *contentione animi*, satis ostendunt significationes vocabulorum cognatorum, συντείνω, σύντονος, συντονία, et συτεταμένως. In Plutarcho quidem σύντασις non minus facile degenerare potuit in σύνταξις, quam in Aristophane Plut. v. 325. συντεταμένως in συντεταγμένως· quod recte apud Suidam h. v. emendat Kusterus, sed per festinationem oblitus nominare auctorem emendationis, Bentleium ad Callimachi fragm. 233. nam deinde in Notis ad Aristophanem ei, quod debebat, reddidit. Porro, pro ξυνεπνεύοντες, quod omnes libri Thucydidis habent, suspicari quis possit, Plutarchum legisse ξυμπνέοντες· quæ varietas scripturæ et ipsa meretur considerari. Sed, sententiam verborum Thucydidis hanc esse, puto: eos, qui e terra prœlium spectabant, gestu ipso et motu corporum effinxisse ea, quæ accidere, videbant, pugnantibus, qui modo victores erant, modo fugiebant, modo peribant. Duk.

4. φιλονικῶν i.
ὁ om. G.o.

πλείονος ἤδη καλοῦ, δεδιότες δὲ οἱ ἐπελθόντες μὴ τῶν παρόντων ἔτι χείρω πράξωσι. πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς, ὅ τε φόβος ἦν ὑπὲρ τοῦ μέλλοντος οὐδενὶ ἐοικώς, καὶ διὰ τὸ ἀνώμαλον καὶ τὴν ἔπωψιν τῆς ναυμαχίας ἐκ τῆς γῆς ἠναγκάζοντο ἔχειν. δι' ὀλίγου γὰρ οὔσης τῆς θέας καὶ οὐ πάντων ἅμα ἐς τὸ αὐτὸ σκοπούντων, εἰ μέν τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησάν τε ἂν καὶ πρὸς ἀνάκλησιν θεῶν, μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας, ἐτρέποντο· οἱ δ' ἐπὶ τὸ ἡσσώμενον βλέψαντες ὀλοφυρμῷ τε ἅμα μετὰ βοῆς ἐχρῶντο, καὶ ἀπὸ τῶν δρωμένων τῆς ὄψεως καὶ τὴν γνώμην μᾶλλον τῶν ἐν τῷ ἔργῳ ἐδουλοῦντο. ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι τῆς ναυμαχίας ἀπιδόντες, διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἀμίλλης, καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ περιδεῶς ξυναπονεύοντες, ἐν τοῖς χαλεπώτατα διῆγον· ἀεὶ γὰρ παρ' ὀλίγον ἢ διέφευγον ἢ ἀπώλλυντο.

cum studio, nec sine clamore et ululatu, prout suos aut vincere aut vinci animadverterent. Tandem classis Atheniensium devicta ad terram appulit, et maxima omnes non solum classiarios, sed etiam pedites trepidatio invasit.

κατὰ κράτος. 1. Οἱ ἐπελθόντες] οἱ Ἀθηναῖοι. 2. Πάντων γὰρ δὴ ἀνακειμένων τοῖς Ἀθηναίοις ἐς τὰς ναῦς] ἤγουν πάσης τῆς ἐλπίδος αὐτοῖς ἐν ταῖς ναυσὶν οὔσης. 4. Καὶ διὰ τὸ ἀνώμαλον] καὶ διὰ τὸ ἐν ναυσὶ, μόναις δηλονότι, πάσας τὰς ἐλπίδας ἔχειν, ἀνωμάλως ἐκ τῆς γῆς ἐθεῶντο τὴν ναυμαχίαν. 5. Δὶ ὀλίγου γὰρ οὔσης τῆς θέας] σύνεγγυς γὰρ οὔσης τοῖς πεζοῖς τῆς ναυμαχίας εἰς τὸ πάντας ὁρᾶσθαι, καὶ ἄλλων ἄλλο ἔργον αὐτῆς θεωρούντων, οἱ μὲν νικῶντας ὁρῶντες τοὺς οἰκείους ἀνεθάρσουν τε διὰ τοῦτο καὶ ἔχαιρον, οἱ δὲ θεώμενοι ἡττωμένους κατ' ἄλλο μέρος ἐταράττοντο· καὶ ὁρῶντες τὰ γιγνόμενα ἀθυμότεροί τε οἱ ἀπὸ τῆς γῆς καὶ ταπεινότεροι τῶν ἡττωμένων ἐν ταῖς ναυσὶν ἐγίνοντο. 8. Ἀνεθάρσησάν τε ἂν] ἤγουν ἀνέστησαν τὸ φρόνημα. 12. Ἄλλοι δὲ καὶ πρὸς ἀντίπαλόν τι] ἄλλοι δὲ (φησί) τῶν ἀπὸ τῆς γῆς ἰδόντες ἰσόῤῥοπόν του ναυμαχίαν, διὰ τὸ πάνυ ἀδιάκριτον εἶναι πότεροι νικῶσι, συνεξομοιοῦντες τὰ σώματα τῇ περὶ τῶν γιγνομένων προσδοκίᾳ, ἀπέκενον τῷ σώματι τῇδε κἀκεῖσε. 13. Διὰ τὸ ἀκρίτως ξυνεχὲς τῆς ἀμίλλης] γενομένης δηλονότι ἀκρίτως

1. ἤδη B.
2. ἅμα κειμένων i.
4. διὰ τὸ] Lege δι' αὐτὸ, quod est 4, 55. 5, 115. 7, 6. 8, 88.
5. ναυμαχίας ἦν ἐκ c.f.
6. καὶ ἀπάντων B. cum Dionysio.
7. τοι g.
8. ἂν om. B.
9. ἐτράποντο e.
10. τε om. K.
11. τῆς γνώμης G.
14. ἀκρότως i. ἀποκρίτως margo i.
15. χαλεπωτάτοις c.f.i.
16. γὰρ om. f.
ἤδη ἔφευγον i.

ἦν τε ἐν τῷ αὐτῷ στρατεύματι τῶν Ἀθηναίων, ἕως ἀγχώμαλα ἐναυμάχουν, πάντα ὁμοῦ ἀκούσαι, ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. παραπλήσια δὲ καὶ οἱ ἐπὶ τῶν νεῶν αὐτοῖς ἔπασχον, πρίν γε δὴ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ἐπὶ πολὺ ἀντισχούσης τῆς ναυμαχίας, ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπικείμενοι λαμπρῶς, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, κατεδίωκον ἐς τὴν γῆν. τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος ἄλλῃ, ὅσοι μὴ μετέωροι ἐάλωσαν, κατενεχθέντες ἐξέπεσον ἐς τὸ στρατόπεδον· ὁ δὲ πεζὸς οὐκέτι διαφόρως, ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες δυσανασχετοῦντες τὰ γιγνόμενα, οἱ μὲν ἐπὶ τὰς ναῦς παρεβοήθουν, οἱ δὲ πρὸς τὸ λοιπὸν τοῦ

τῆς ἀμίλλης. 1. Ἀγχώμαλα] ἴσα. 2. ὀλοφυρμὸς, βοὴ, νικῶντες, κρατούμενοι] Ὅμηρος· Ἔνθα δ' ἄμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν, Ὀλλύντων τε καὶ ὀλλυμένων (Il. 4, 450). 10. Μετέωροι] ἤγουν ἐν τῷ πελάγει ὄντες. 11. Κατενεχθέντες] ἤγουν πρὸς τὴν γῆν ἐλθόντες. 12. Οἰμωγῇ τε καὶ στόνῳ] Ὅμηρος· Κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ (Il. 22, 409).

1. τε γὰρ ἐν P.
αὐτῷ om. A.D.F.H.L.O.P.Q. g.i.
Ἕως ἀγχώμαλα ἐναυμάχουν] Ἀγχώμαλα verbum τραχὺ esse, autumat Pollux V. 157. Haud ita Dionysius Halic. qui in libro de Arte Rhetorica pag. 61. et in Antiqq. p. 671. ἀγχώμαλοι, et p. 109. 173. ἀγχωμάλως adhibet. Wass. Etiam aliorum auctoritates habebat Suidas, et recentiora Lexica. Lucianus II. Ver. Hist. pag. 686. ἀγχωμάλως δ' ἐτέτολὺ ναυμαχοῦντες. Duk.
7. Ἀντισχούσης] Addit Diodor. p. 340. a. Τῶν δὲ παρὰ τὴν πόλιν κινδυνευόντων Ἀθηναίων ἐκβιασθέντων, καὶ πρὸς φυγὴν ὁρμησάντων, &c. Tantum ad victoriam momentum carissimorum conspectus. Wass.
8. κραυγῇ] βοῇ g.
9. δὲ] δὴ F. cum Dionysio: om. k. qui mox μὲν ὁ.
10. Ὅσοι μὴ μετέωροι ἐάλωσαν] Diodorus Sic. XIII. p. 340. hæc παραφράζων· Τῶν δὲ Ἀθηναίων, inquit, ὅσοι μὴ μετέωροι διεφθάρησαν, ἐπεὶ πρὸς τὰ βράχη προσηνέχθησαν, ἐκνηδῶντες ἐκ τῶν νεῶν ἀπολομένων, εἰς τὸ πεζὸν στρατόπεδον ἔφευγον. Duk.
ἐαλώκεσαν K. ἐαλώκησαν g.
12. ὀργῆς d.i.
13. Δυσανασχετοῦντες] Contulit ex hoc loco in Onomasticon suum Pollux III. 103. Duk.

τείχους ἐς φυλακὴν, ἄλλαι δὲ καὶ οἱ πλεῖστοι ἤδη περὶ τῆς αὐτοὺς καὶ ὅπῃ σωθήσονται διεσκόπουν. ἦν τε ἐν τῷ παραυτίκα οὐδεμιᾶς δὴ τῶν ξυμπασῶν ἐλάσσων ἔκπληξις. παρακλησιά τε πεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ ἐν Πύλῳ· διαφθαρεισῶν γὰρ τῶν νεῶν τοῖς Λακεδαιμονίοις προσαπώλλυντο αὐταῖς καὶ οἱ ἐν τῇ νήσῳ ἄνδρες διαβεβηκότες, καὶ τότε τοῖς Ἀθηναίοις ἀνέλπιστον ἦν τὸ κατὰ γῆν σωθήσεσθαι, ἢν μή τι παράλογον γίγνηται.

Γενομένης δ' ἰσχυρᾶς τῆς ναυμαχίας, καὶ πολλῶν νεῶν ἀμφοτέροις καὶ ἀνθρώπων ἀπολομένων, οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ἐπικρατήσαντες τά τε ναυάγια καὶ τοὺς νεκροὺς ἀνείλοντο, καὶ ἀποπλεύσαντες πρὸς τὴν πόλιν τροπαῖον ἔστησαν. οἱ δ' Ἀθηναῖοι, ὑπὸ μεγέθους τῶν παρόντων κακῶν, νεκρῶν μὲν περὶ ἢ ναυαγίων οὐδὲ ἐπενόουν αἰτῆσαι ἀναίρεσιν, τῆς δὲ νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν. Δημοσθένης δὲ Νικίᾳ προσελθὼν γνώμην

72. Post hæc suadenti Demosthenii, ut cum satis magno navium superstitum numero claustra portus perfringere conarentur, assensus Nicias recusante peri-

1. Ἐς φυλακὴν] ἀπὸ κοινοῦ, παρεβοήθουν. 2. Ἐν τῷ παραυτίκα] ἤγουν ἐν τῷ ἐνιστῶτι τότε χρόνῳ. 6. Καὶ οἱ ἐν τῇ νήσῳ] ὑστερβατόν. τὸ ἑξῆς· καὶ οἱ διαβεβηκότες αὐτοῖς προσαπόλλυντο ἐν τῇ νήσῳ ἄνδρες. 15. Αἰτῆσαι ἀναίρεσιν]

1. καὶ οἱ A.B.D.F.G.H.L.N. O.Q.c.e.g.i.k. cum Dionysio: οἱ καὶ f. vulgo omittunt καί.
3. ξυμπασῶν] ξυμφορῶν B.
4. Παρακλήσιά τε ἐπεπόνθεσαν καὶ ἔδρασαν αὐτοὶ] Eodem modo particula καὶ post παρακλήσεις utitur Thucydides V. 112. Ὡς ἔδοξεν αὐτοῖς παρακλήσεις, καὶ ἀντέλεγον, ἀπεκρίναντο τάδε. Post ὁμοίως VII. 28. Αἱ μὲν γὰρ δοκάναι οὐχ ὁμοίως καὶ πρὶν, ἀλλὰ πολλῷ μείζους καθέστασαν. Et post ἴσα III. 14. Ἴσα καὶ ἱκέται δεμνά. ubi Scholiastes adnotat, ὅμοιοι καὶ ἴσοι ἱκέταις, ὥσπερ ἱκέται. Plura habet Budæus Commentar. Ling. Gr. p. 919. Duk.
πεπόνθεσαν A.D.F.H.Q. πεπόνθησαν g.k. ceteri ἐπεπόθεσαν.
5. τοῖς om. B.
6. αὐτοῖς A.B.D.F.H.g. cum Dionysio.
8. παρὰ λόγον Dionysius.
γίγνοιτο d.i.
9. Πολλῶν νεῶν] De classe Attica perierant naves LX. de Syracusana VIII. et decem ad navigandum inutiles factæ. vid. Diodor. p. 340. b. Wass.
10. ἀνδρῶν Dionysius.
11. σύμμαχοι K.
ἐπικρατοῦντες Dionysius.
τά om. D.g.
14. ἐνέοιν L.O.P.k.
15. ἐβούλαντο B.

culum exercitu prohibetur, quo minus per mare effugiat, et in consilium per terram discedendi rejicitur.

ἐποιεῖτο, πληρώσαντας ἔτι τὰς λοιπὰς τῶν νεῶν βιάσασθαι, ἢν δύνωνται, ἅμα ἕῳ τὸν ἔκπλουν, λέγων ὅτι πλείους ἔτι αἱ λοιπαί εἰσι νῆες χρήσιμαι σφίσιν ἢ τοῖς πολεμίοις· ἦσαν γὰρ τοῖς μὲν Ἀθηναίοις περίλοιποι ὡς ἑξήκοντα, τοῖς δ' ἐναντίοις ἐλάσσους ἢ πεντήκοντα. καὶ ξυγχωροῦντος Νικίου τῇ γνώμῃ, καὶ βουλομένων πληροῦν αὐτῶν, οἱ ναῦται οὐκ ἤθελον ἐσβαίνειν διὰ τὸ καταπεπλῆχθαι τῇ ἥσσῃ καὶ μὴ ἂν ἔτι οἴεσθαι κρατῆσαι. καὶ οἱ μὲν ὡς κατὰ γῆν ἀναχωρήσοντες ἤδη ξύμπαντες τὴν γνώμην εἶχον.

73. Quod cum Hermocrates divinasset, nec posset magistratibus persuadere, ut statim exercitum ad vias intercipiendas educerent: missis equitibus quibusdam

*Ἑρμοκράτης δὲ ὁ Συρακόσιος ὑπονοήσας αὐτῶν τὴν διάνοιαν, καὶ νομίσας δεινὸν εἶναι, εἰ τοσαύτη στρατιὰ κατὰ γῆν ὑποχωρήσασα καὶ καθεζομένη ποι τῆς Σικελίας βουλήσεται αἴθις σφίσι τὸν πόλεμον ποιεῖσθαι, ἐσηγεῖται ἐλθὼν τοῖς ἐν τέλει οὖσιν, ὡς οὐ χρεὼν ἀποχωρῆσαι τῆς νυκτὸς αὐτοὺς περιιδεῖν, λέγων ταῦτα ἃ καὶ αὐτῷ ἐδόκει, ἀλλὰ ἐξελθόντας ἤδη πάντας Συρακοσίους καὶ τοὺς ξυμμάχους τάς τε ὁδοὺς ἀποικοδομῆσαι καὶ τὰ

ἀνάληψιν. 17. Ἀποικοδομῆσαι] ἀποφράξαι διά τινος οἰκοδομῆς.

3. χρήσιμοι L.Q.e. χρήμασι g.
4. μὲν om. c.
5. τοῖς δ'—πεντήκοντα om. D.
οὐκ ἐλάσσους g.
6. αὐτῶν B.D.H.K.L.O.P.d.e.f.g. αὐτὴν A.F.k. vulgo αὐτάς.
7. Οἱ ναῦται] Vide Diodorum p. 340. b. Wass.
8. τῇ] τε τῇ B.
ἂν om. g.
κρατήσειν d.g.
9. ἀναχωρήσαντες f.
12. ὑποχωρήσασα A.B.D.F.H.L.N.O.P.Q.g.k. vulgo ἀποχωρήσασα.
πῃ L.O.e. που d.
13. ἐσηγεῖται A.B.D.F.G.H.K.L.N.O.P.d.f.g.k. vulgo ἐφηγεῖται.
Ἐφηγεῖται] Non credo, quemquam facile ostensurum, ἐφηγεῖσθαι apud alios probatos Scriptores ea significatione, quam hic locus postulat, inveniri. Itaque non sine ratione hæc scriptura suspecta fuit Stephano, in Thes. Nec quidquam causæ est, cur ἐσηγεῖται, in quo fere omnes MSSti consentiunt, præferri non debeat. Quid in foro sit ἐφηγεῖσθαι et ἐφήγησις, docent Pollux VIII. 41. et 50. et Suidas. Sed ea significatio huc non pertinet. Duk.
15. ἃ καὶ] καὶ ἃ d.i. καὶ ἃ καὶ A.D.F.H.g.
αὐτῷ om. i.
16. πάντας om. N. post συρακ. ponit Q.
17. τοὺς] αὐτοὺς G.

στενόπορα τῶν χωρίων διαλαβόντας φυλάσσειν. οἱ δὲ ξυνεγίγνωσκον μὲν καὶ αὐτοὶ οὐχ ἧσσον ταῦτα ἐκείνου, καὶ ἐδόκει ποιητέα εἶναι, τοὺς δὲ ἀνθρώπους ἄρτι ἀσμένους ἀπὸ ναυμαχίας τε μεγάλης ἀναπεπαυμένους, καὶ ἅμα ἑορτῆς οὔσης (ἔτυχε γὰρ αὐτοῖς Ἡρακλεῖ ταύτην τὴν ἡμέραν θυσία οὖσα), οὐ δοκεῖν ἂν ῥᾳδίως ἐθελῆσαι ὑπακοῦσαι· ὑπὸ γὰρ τοῦ περιχαροῦς τῆς νίκης πρὸς πόσιν τετράφθαι τοὺς πολλοὺς ἐν τῇ ἑορτῇ, καὶ πάντα μᾶλλον ἐλπίζειν ἂν σφῶν πείθεσθαι αὐτοὺς ἢ ὅπλα λαβόντας ἐν τῷ παρόντι ἐξελθεῖν. ὡς δὲ τοῖς ἄρχουσι ταῦτα λογιζομένοις ἐφαίνετο ἄπορα καὶ οὐκέτι ἔπειθεν αὐτοὺς ὁ Ἑρμοκράτης, αὐτὸς ἐπὶ τούτοις τάδε μηχανᾶται. δεδιὼς μὴ οἱ Ἀθηναῖοι καθ' ἡσυχίαν προφθάσωσιν ἐν τῇ νυκτὶ διελθόντες τὰ χαλεπώτατα τῶν χωρίων, πέμπει τῶν ἑταίρων τινὰς τῶν ἑαυτοῦ μετὰ ἱππέων πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἡνίκα ζυνεσκόταζεν· οἱ προσελάσαντες ἐξ

ad castra Atheniensium, qui sub amicitiæ specie indicarent, omnem Syracusanorum exercitum ad vias occludendas profectum esse, eosque monerent, ne noctu abirent.

1. Ξυνεγίγνωσκον] τὰ αὐτὰ ἐγίγνωσκον. τουτέστιν ὁμογνώμονες ἦσαν αὐτῷ.
4. Καὶ ἅμα ἑορτῆς οὔσης] ἤγουν ἀνεσίμου ἡμέρας.

1. στενότερα A. et γρ. B.
διαλαβόντας B. vulgo προφθάσαντας.
2. ἧττον A.B.
4. πεταυμένους B.
5. ἐτύγχανε O.
αὐτοῖς om. B.
ἡρακλεῖ A.D.F.H.L.O.P.Q.d.e.k. et γρ. B. vulgo ἡρακλεῖα.
6. Οὐ ῥᾳδίως] Hesychius ● Thucydide laudans οὐ ῥᾳδίως exponit κακῶς. Synesius Epist. LVII. Οὐ γὰρ ῥᾴδιος εἰμὶ χαίνωθῆναι. Wass. Sopingius suspicatur, Hesychium ante oculos habuisse verba Thucydidis II. 16. Οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο. Mihi videtur respexisse ad ea, quæ de Aristogitone leguntur VI. 58. Καὶ ὕστερον λαφθεὶς οὐ ῥᾳδίως διετέθη. Vide ibi Scholiasten. Duk.
ἐθελῆσαι om. G.
7. ὑπὲρ d.
11. οὐκέτι A.B.D.F.G.H.L.O.P.Q.c.d.e.f.g.i.k. vulgo οὐκ.
14. ἑτέρων A.K.L.
15. μετὰ τῶν ἱππέων D.g.
τὸ ἀθηναίων Q.
16. συνεσκόταζεν K.
προσελάσαντες A.B.D.F.H.K.L.N.O.P.Q.d.e.g.i.k. ceteri προσπελάσαντες.
Προσπελάσαντες ferri posset, si non dissentirent libri scripti. De equitibus Thucydides IV. 72. Πρὸς αὐτὴν τὴν Νίσαιαν προσελάσαντες οἱ Ἀθηναῖοι. VI. 65.

ὅσου τις ἔμελλεν ἀκούσεσθαι, καὶ ἀναπαλεσάμενοί τινὰς ὡς ὄντες τῶν Ἀθηναίων ἐπιτήδειοι (ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι τῶν ἔνδοθεν), ἐκέλευον φράζειν Νικίᾳ μὴ ἀπάγειν τῆς νυκτὸς τὸ στράτευμα, ὡς Συρακοσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ καθ' ἡσυχίαν τῆς ἡμέρας παρα- 5 σκευασάμενον ἀποχωρεῖν. καὶ οἱ μὲν εἰπόντες ἀπῆλθον, καὶ οἱ ἀκούσαντες διήγγειλαν τοῖς στρατηγοῖς τῶν Ἀθη-

74. Niciam decepit atque permovit, ut non solum illam noctem, sed etiam posterum diem in eodem loco maneret. Interea Gylippus et Syracusani vias intercludunt, et transitus fluviorum custodiunt; atque naves Atheniensium, nemine prohibente,

ναίων· * οἱ δὲ πρὸς τὸ ἄγγελμα ἐπέσχον τὴν νύκτα, νομίσαντες οὐκ ἀπάτην εἶναι. καὶ ἐπειδὴ καὶ ὡς οὐκ εὐθὺς ὥρμησαν, ἔδοξεν αὐτοῖς καὶ τὴν ἐπιοῦσαν ἡμέραν περιμεῖ- 10 ναι, ὅπως ξυσκευάσαιντο ὡς ἐκ τῶν δυνατῶν οἱ στρατιῶται ὅτι χρησιμώτατα, καὶ τὰ μὲν ἄλλα πάντα καταλιπεῖν, ἀναλαβόντας δὲ αὐτὰ ὅσα περὶ τὸ σῶμα ἐς δίαιταν ὑπῆρχεν ἐπιτήδεια ἀφορμᾶσθαι. Συρακόσιοι δὲ καὶ Γύλιππος τῷ μὲν πεζῷ προεξελθόντες τάς τε ὁδοὺς τὰς 15 κατὰ τὴν χώραν, ἢ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι, ἀπεφράγνυσαν, καὶ τῶν ῥείθρων καὶ ποταμῶν τὰς διαβάσεις ἐφύλασσον, καὶ ἐς ὑποδοχὴν τοῦ στρατεύματος, ὡς κωλύσοντες, ἢ ἐδόκει, ἐτάσσοντο· ταῖς δὲ ναυσὶ προσπλεύσαντες τὰς ναῦς τῶν Ἀθηναίων ἀπὸ τοῦ αἰγιαλοῦ ἀφεῖλ- 20 κον, ἐνέπρησαν δέ τινας ὀλίγας, ὥσπερ διενοήθησαν αὐτοὶ

3. Διάγγελοι τῶν ἔνδον] ἤγουν μηνυταὶ καὶ ἐξαγγέλλοντες τὰ Συρακουσίων.
8. Ἐπέσχον] τὸ στράτευμα δηλονότι.
19. Ἐτάσσοντο] παρετάσσοντο, ὁπλί-

Οἱ ἱππῆς οἱ Συρακουσίων πρῶτοι προσελάσαντες ἐς τὴν Κατάνην. Et sic omnes alii. Duk.

1. τινες g.
2. Ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι] Laudat Ammonius in ἄγγελοι. Ἐξάγγελος, inquit, ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων, ὃν Θουκυδίδης διάγγελον λέγει. Duk.
3. φράζειν τῷ νικίᾳ i.
5. παρασκευασάμενοι L.O.P. ἀποσκευασάμενοι e.
8. τὴν νύκτα om. i.
9. καὶ ante ὡς om. i. ὡς om. D.
11. συσκευάσαιντο B. ξυσκευάσωνται D. N. συσκευάσωνται d.g.
13. ἀναλαβόντες A.D.F.H.K. L.N.O.d.e.g.i.
15. προσεξελθόντες D.b.c.d.e.f.g. k. προσελθόντες i.
τὰς κατὰ] ταύτας κατὰ K.
16. ἰέναι ἂν ἀπεφρ. G.
17. καὶ ποταμῶν B. vulgo καὶ τῶν ποταμῶν.
19. ἐτάττοντο c.
προσελάσαντες L.
21. ἐνέπρισαν c.
ὀλίγους H.

οἱ Ἀθηναῖοι, τὰς δ' ἄλλας καθ' ἡσυχίαν, οὐδενὸς κωλύοντος, ὡς ἑκάστην ποι ἐκπεπτωκυῖαν ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

in suam stationem transvehunt.

Μετὰ δὲ τοῦτο, ἐπειδὴ ἐδόκει τῷ Νικίᾳ καὶ Δημοσθένει ἱκανῶς παρεσκευάσθαι, καὶ ἡ ἀνάστασις ἤδη τοῦ στρατεύματος τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας ἐγίγνετο. δεινὸν οὖν ἦν οὐ καθ' ἓν μόνον τῶν πραγμάτων, ὅτι τάς τε ναῦς ἀπολωλεκότες πάσας ἀνεχώρουν, καὶ ἀντὶ μεγάλης ἐλπίδος καὶ αὐτοὶ καὶ ἡ πόλις κινδυνεύοντες· ἀλλὰ καὶ ἐν τῇ ἀπολείψει τοῦ στρατοπέδου ξυνέβαινε τῇ τε ὄψει ἑκάστῳ ἀλγεινὰ καὶ τῇ γνώμῃ αἴσθεσθαι. τῶν τε γὰρ νεκρῶν ἀτάφων ὄντων, ὁπότε τις ἴδοι τινὰ τῶν ἐπιτηδείων κείμενον, ἐς λύπην μετὰ φόβου καθίστατο· καὶ οἱ ζῶντες καταλειπόμενοι, τραυματίαι τε καὶ ἀσθενεῖς, πολὺ τῶν τεθνεώτων τοῖς ζῶσι λυπηρότεροι ἦσαν καὶ τῶν ἀπολωλότων ἀθλιώτεροι. πρὸς γὰρ ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι ἐς ἀπορίαν καθίστασαν, ἄγειν τε σφᾶς ἀξιοῦντες, καὶ ἕνα ἕκαστον ἐπιβοώμενοι, εἴ τινά πού τις ἴδοι ἢ

75. Tertio igitur die post pugnam navalem Atheniensium exercitus profectus, non sine summo mœrore castra cum sanciis et ægrotis relinquit, sua quisque necessaria portans.

ζωντο. 2. Ἀναδησάμενοι] ἤγουν ἐξαρτήσαντες τῶν ἑαυτῶν νεῶν. 5. Καὶ ἡ ἀνάστασις ἤδη] ὁ καὶ περιττός. 11. Αἴσθεσθαι] ἀπὸ κοινοῦ τὸ ἀλγεινά. 16. Ἀντιβολίαν] παράκλησιν. ἀντιβολία δέησις, ἱκεσία. ἀντιβο-

1. Τὰς δ' ἄλλας] Quinquaginta triremes. Diodorus Sic. p. 340. d. Wass.

2. τῃ f.

ἐσπεπτωκυῖαν P. . . .

4. ἐδόκει post παρασκευάσθαι ponit d. παρασκευάσθαι etiam G.f. παρασκευάσθαι A.B.D.F.H.K.N. c.e.g.i.k. vulgo παρασκευάσασθαι.

7. οὖν om. Q.c.

8. ἀνεχώρουν O.

9. αὐτοὶ ἡ g.

10. ἀπολείψει f.

συνέβαινε D.g.

11. ἑκάστη g.

Γνώμῃ] Per autes etiam affici, pulchre Herodotus VII. 39. Εἰ νῦν τοῦ ἐξεπίστασο, ὡς ἐν τοῖσι ἐσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμὸς, ὃς χρηστὰ μὲν ἀκούσας, τέρψιος ἐμπιπλέει τὸ σῶμα, ὑπεναντία δὲ τούτοισι ἀκουσθέι. Wass.

αἴσθεσθαι B. ceteri αἰσθέσθαι.

13. καθίσταται f.

14. πολλὰ i.

16. Ex hoc loco Thucydidis argumentum declamandi sibi sumsisse Herodem Atticum, narrat Philostratus II. de Vit. Sophistar. V. Duk.

17. καθιστᾶσιν Suidas v. ἀντιβολία· et paullo ante τρεπόμενοι.

18. ἴδοι om. Q.

ἴδοὶ ἑτέρων g.

ἑταίρων ἢ οἰκείων, τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι, καὶ ἐπακολουθοῦντες ἐς ὅσον δύναιντο, εἴ τῳ δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι· ὥστε δάκρυσι πᾶν τὸ στράτευμα πλησθὲν καὶ ἀπορίᾳ τοιαύτῃ μὴ ῥᾳ- 5 δίως ἀφορμᾶσθαι, καίπερ ἐκ πολεμίας τε, καὶ μείζω ἢ κατὰ δάκρυα τὰ μὲν πεπονθότας ἤδη, τὰ δὲ περὶ τῶν ἐν ἀφανεῖ δεδιότας μὴ πάθωσι. κατήφειά τέ τις ἅμα καὶ κατάμεμψις σφῶν αὐτῶν πολλὴ ἦν. οὐδὲν γὰρ ἄλλο ἢ πόλει ἐκπεπολιορκημένῃ ἐῴκεσαν ὑποφευγούσῃ, καὶ ταύ- 10 τῃ οὐ σμικρᾷ· μυριάδες γὰρ τοῦ ξύμπαντος ὄχλου οὐκ ἐλάσσους τεσσάρων ἅμα ἐπορεύοντο. καὶ τούτων οἵ τε ἄλλοι πάντες ἔφερον ὅ τί τις ἐδύνατο ἕκαστος χρήσιμον, καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππῆς παρὰ τὸ εἰωθὸς αὐτοὶ τὰ σφέτερα αὐτῶν σιτία ὑπὸ τοῖς ὅπλοις, οἱ μὲν ἀπορίᾳ ἀ- 15

λία δάκρυα καὶ στεναγμὸς, παρὰ τὸ ἀντιβολῶ. 3. Ἐπιθειασμῶν] θείων ἐπικλήσεων. 7. Περὶ τῶν ἐν τῷ ἀφανεῖ] ἤγουν περὶ τῶν μελλόντων.

1. Τῶν τε — ἐκκρεμαννύμενοι] Habet Suidas in ἐκκρεμαν. et exponit ἀπιωρτημένοι. Nec variant MSS. Ἐκκρεμαννύμενοι τῶν πηδαλίων dicit Lucianus in Toxari p. 36. Apud Theophrastum III. Histor. Plant. 9. κατακρεμάννυται. Wass.

2. ἐς accessit ex B.

3. προλίποι B.g. προλείπει d.i.k. Οὐκ ἄνευ ὀλίγων] Hoc *Interpretes* ita vertunt, ac si in Græcis scriptum esset, οὐκ ἄνευ πολλῶν· quod et sententia videtur postulare. Nec intelligo, cur Thucydides pro eo maluerit dicere, οὐκ ἄνευ ὀλίγων. Duk.

4. οἰμωγῶν Q.
ὑπολειπόμενοι B.

6. Μείζω] Præiveratt Bacchylides: Αἰ αἰ τέκος, ἁμέτερον μεῖζον, Ἢ ΠΕΝΘΕΙΝ, Ἐφάνη κακὸν ΑΦΘΕΓΚΤΟΙΣΙΝ ἴσον. Herodotus etiam III. 14. Ὦ παῖ Κύρου, τὰ μὲν οἰκήϊα ἦν ΜΕΖΩ κακὰ, ἢ ὥστε ΑΝΑΚΛΑΙΕΙΝ· Τὸ δὲ τοῦ ἑταίρου πάθος ἄξιον ἦν δακρύων. Ibi pro καλέσας Bod. βοήσας. D. Halicarn. XI. 39. Δεινὰ καὶ πέρα δεινῶν. Herodot. II. 35. ἔργα λόγου μεῖζω παρέχεται. Noster II. 60. πρᾶγμα εἰκείδος κρεῖσσον. Wass.

7. πεπονθότες e.

8. μὴ B. vulgo μή τι.

10. ἐκπολιορκουμένῃ g.i.
καὶ ὑποφευγούσῃ ἐῴκεσαν g.

13. ἔφερον πάντες B.
ἕκαστος B. ceteri κατὰ τό.

14. αὐτοὶ B.K. ceteri αὐτοί τε.
τὰ A.B.D.F.H.L.O.g.i.k. vulgo καὶ τά.

15. ὑπὸ τοῖς ὅπλοις om. G.c.

κολούθων, οἱ δὲ ἀπιστίᾳ· ἀπηυτομολήκεσαν γὰρ πάλαι τε, καὶ οἱ πλεῖστοι παραχρῆμα. ἔφερον δὲ οὐδὲ ταῦτα ἱκανά· σῖτος γὰρ οὐκέτι ἦν ἐν τῷ στρατοπέδῳ. καὶ μὴν ἡ ἄλλη αἰκία καὶ ἡ ἰσομοιρία τῶν κακῶν, ἔχουσά τινα 5 ὅμως, τὸ μετὰ πολλῶν, κούφισιν, οὐδ' ὡς ῥᾳδία ἐν τῷ παρόντι ἐδοξάζετο, ἄλλως τε καὶ ἀπὸ οἵας λαμπρότητος καὶ αὐχήματος τοῦ πρώτου ἐς οἵαν τελευτὴν καὶ ταπεινότητα ἀφῖκτο. μέγιστον γὰρ δὴ τὸ διάφορον τοῦτο Ἑλληνικῷ στρατεύματι ἐγένετο, οἷς, ἀντὶ μὲν τοῦ ἄλλους δουλωσομέ- 10 νους ἥκειν, αὐτοὺς τοῦτο μᾶλλον δεδιότας μὴ πάθωσι ζυνέβη ἀπιέναι, ἀντὶ δ' εὐχῆς τε καὶ παιάνων, μεθ' ὧν ἐξέπλεον, πάλιν τούτων τοῖς ἐναντίοις ἐπιφημίσμασιν ἀφορμᾶσθαι, πεζούς τε ἀντὶ ναυβατῶν πορευομένους καὶ ὁπλιτι-

2. Καὶ οἱ πλεῖστοι παραχρῆμα] ἀντὶ τοῦ καὶ οἱ πλεῖστοι ἐν τῷ τότε παρόντι. 4. Αἰκία] κάκωσις. Καὶ ἡ ἰσομοιρία] καὶ τὸ κοινωνεῖν δηλαδὴ πάντας ἐπίσης τῶν κακῶν, καὶ οἷον ἴσου μέρους ἕκαστον αὐτῶν μετέχειν. Ἔχουσά τινα ὅμως] ἔχουσά τινα κουφισμὸν, δηλονότι ἡ ἰσομοιρία, τὸ μετὰ πολλῶν ἰσομοιρεῖν τῶν κακῶν. 8. Ἀφῖκτο] τὸ στράτευμα δηλονότι. Τῷ Ἑλληνικῷ στρατεύματι] οὐκ ἀπιθάνως περιαιροῦσι τὸ ἄρθρον ἐκ τοῦ τῷ Ἑλληνικῷ στρατεύματι ἐγένετο, ὡς οὐδενὸς Ἑλληνικοῦ στρατεύματος ἐν

1. ἀπηυτομολήκεσαν K.c.i.
2. καὶ om. L.
3. ἦν ἐν A.B.D.g.k. ἦν ἂν f. vulgo ἐν sine verbo.
καὶ μὴν καὶ g.
4. καὶ ἡ ἰσομοιρία A.B.D.G.c.e. g. vulgo omittunt articulum.
5. Κούφισιν] Pro κουφισμὸν, Scholiastes, et Pollux III. 100. Vix alibi. Wass.
ῥάδια A.
6. καὶ om. G.
Ἀπὸ οἵας λαμπρότητος] Huc faciunt, quæ adnotavit Casaubonus ad Theophrasti Charact. cap. 8. περὶ λογοποιΐας· ubi docet, Græcis de maxima mutatione fortunæ usitatam esse formulam, ἐξ οἵων εἰς οἷα. Duk.
οἵας] οἰκείας L.O.k.
7. οἵαν τε τελευτὴν D.F.H.
8. ἀφίκετο Q.
ἑλληνικῷ] Vulgo τῷ ἑλληνικῷ. Conf. V. 60.
10. δουλωσαμένους K.
αὐτοὺς om. i.
11. ζυνέβη ἀπιέναι] ζυναπιέναι K.c.e.
παιώνων A.D.H.i.
12. πόλιν G.
Ἐπιφημίσμασιν] Hesychius, fortassis ad hunc locum respiciens, exponit οἰωνίσμασιν. Duk.
13. πεζῇ e.
τε B. ceteri δέ.
ναυατῶν D.Q.g. βατῶν B.
πολευομένους k.

κῷ προσέχοντας μᾶλλον ἢ ναυτικῷ. ὅμως δὲ ὑπὸ μεγέθους τοῦ ἐπικρεμαμένου ἔτι κινδύνου πάντα ταῦτα αὐτοῖς οἷστὰ ἐφαίνετο.

76. Priusquam autem iter ingrederentur, Nicias eos consolatus est

Ὁρῶν δὲ ὁ Νικίας τὸ στράτευμα ἀθυμοῦν καὶ ἐν μεγάλῃ μεταβολῇ ὂν, ἐπιπαριὼν ὡς ἐκ τῶν ὑπαρχόντων ἐθάρσυνέ τε καὶ παρεμυθεῖτο, βοῇ τε χρώμενος ἔτι μᾶλλον ἑκάστοις, καθ' οὓς γίγνοιτο, ὑπὸ προθυμίας, καὶ βουλόμενος ὡς ἐπὶ πλεῖστον γεγωνίσκων ὠφελεῖν.

77. oratione, qua spem melioris fortunæ eo maxime firmabat, quod gravissima quæque perpessi deorum iram complevissent.

"* Ἔτι καὶ ἐκ τῶν παρόντων, ὦ Ἀθηναῖοι καὶ ξύμμαχοι, "ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶν- "δε ἐσώθησαν· μηδὲ καταμέμψασθαι ὑμᾶς ἄγαν αὐ- "τοὺς, μήτε ταῖς ξυμφοραῖς μήτε ταῖς παρὰ τὴν ἀξίαν "νῦν κακοπαθείαις. κἀγώ τοι, οὐδενὸς ὑμῶν οὔτε ῥώμῃ "προφέρων (ἀλλ' ὁρᾶτε δὴ ὡς διάκειμαι ὑπὸ τῆς νόσου) "οὔτ' εὐτυχίᾳ δοκῶν που ὕστερός του εἶναι κατὰ τὸν "ἴδιον βίον καὶ ἐς τἆλλα, νῦν ἐν τῷ αὐτῷ κινδύνῳ

τοσαύτῃ μεταβολῇ γεγονότος. 5. Ὡς ἐκ τῶν ὑπαρχόντων] ἐκ τῶν δυνατῶν. 9. Ἔτι καὶ ἐκ τῶν παρόντων] θαυμαστῶς ἐστοχάσατο καὶ τοῦ καιροῦ καὶ τῶν περιεχόντων πραγμάτων ἐν τῇ παρακελεύσει, οὔτε προοιμιασάμενος. 14. Ἀλλ' ὁρᾶτε δὴ, ὡς διάκειμαι] τὸ μὲν "ἀλλ' ὁρᾶτε δὴ, ὡς διάκειμαι ὑπὸ τῆς "νόσου" διὰ μέσου κεῖται. φησὶ δὲ, ὅτι οὐδενὸς ὑμῶν οὔτε σώματι ἰσχυρότερος ὢν (ὁρᾶτε γὰρ, ὡς διάκειμαι) οὔτε εὐτυχίᾳ τινὸς ὑστερῶν κατά τε τὸν ἰδιωτικὸν βίον καὶ κατὰ τὴν τῶν κοινῶν προστασίαν, νῦν ἐν ἴσῳ κινδύνῳ καθέστηκα ὅσπερ οἱ φαυλότατοι.

1. προσέχοντας B. vulgo προσχόντας.

Ὅμως δὲ—ἐφαίνετο] Suidas in οἷστὰ, ubi omittit πάντα ταῦτα. Wass.

2. ἐκκρεμαμένου g.

ταῦτα om. K.N. et Suidas v. οἷστά; cui πάντα quoque deest.

οἷστὰ αὐτοῖς K.

7. προμαθείας e.

8. Γεγωνίσκων] Vide, præter Etymol. M. etiam Mœrin. Wass. Suidas, et Eustathius in Homer. Iliad. μ'. p. 909. γεγωνίσκειν, τὸ φθέγγεσθαι ἐξάκουστον. Æschylo in Prometh. v. 628. γεγωνίσκειν est *aperte proferre*: Τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν; Duk.

9. ἔτι] ὅτι Q.d. τι, junctum verbo ὠφελεῖν, B.

10. ἢ τῶν τοιῶνδε g.

11. καταμέμφεσθαι B. καταμέμψασθε c.

15. κατὰ] κατά τε B. καὶ i.

16. τἆλλα B. vulgo τὰ ἄλλα.

" τοῖς φαυλοτάτοις αἰωρεῦμαι· καίτοι πολλὰ μὲν ἐς θεοὺς
" νόμιμα δεδήτημαι, πολλὰ δὲ ἐς ἀνθρώπους δίκαια
" καὶ ἀνεπίφθονα. ἀνθ' ὧν ἡ μὲν ἐλπὶς ὅμως θαρσεῖα
" τοῦ μέλλοντος, αἱ δὲ ξυμφοραὶ οὐ κατ' ἀξίαν δὴ φο-
5 " βεῦσι. τάχα δ' ἂν καὶ λωφήσειαν· ἱκανὰ γὰρ τοῖς τε
" πολεμίοις εὐτύχηται, καὶ εἴ τῳ θεῶν ἐπίφθονοι ἐστρα-
" τεύσαμεν, ἀποχρώντως ἤδη τετιμωρήμεθα. ἦλθον γάρ
" που καὶ ἄλλοι τινὲς ἤδη ἐφ' ἑτέρους, καὶ ἀνθρώπεια
" δράσαντες ἀνεκτὰ ἔπαθον. καὶ ἡμᾶς εἰκὸς νῦν τά τε
10 " ἀπὸ τοῦ θεοῦ ἐλπίζειν ἠπιώτερα ἔζειν· οἴκτου γὰρ ἀπ'
" αὐτῶν ἀξιώτεροι ἤδη ἐσμὲν ἢ φθόνου· καὶ ὁρῶντες ὑμᾶς
" αὐτοὺς, οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι ξυνταγμένοι χω-
" ρεῖτε, μὴ καταπέπληχθε ἄγαν, λογίζεσθε δὲ ὅτι αὐτοί

1. Τοῖς φαυλοτάτοις] ἀγενέσιν, ἤγουν ἀνάνδροις. Πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδήτημαι] ἀντὶ τοῦ πολλὰ εἰς θεῶν τιμὴν ἐπετήδευσα, πεπολίτευμαι νομίμως. 3. Ὅμως θαρσεῖα τοῦ μέλλοντος] ἀντὶ τοῦ θαρσαλέα, ἀνεπαίσχυντος. 4. Οὐ κατ' ἀξίαν δὴ] ἀλλὰ μειζόνως δηλονότι. 6. Εὐτύχηται] ἤγουν μετ' εὐτυχίας κατώρθωται. Ἐπίφθονοι] μεμπτοί. 8. Ἀνθρώπεια] ὅσα προσήκει τῇ ἀνθρωπείᾳ φύσει. 11. Ἡ φθόνου] μέμψεως. 12. Οἷοι ὁπλῖται ἅμα καὶ ὅσοι συντεταγμένοι χωρεῖτε] ὑπήλλακται, ἀντὶ τοῦ τοὺς ὁπλίτας καὶ τοὺς συντεταγμένους χωροῦντας μὴ καταπεπλῆχθαι πάνυ. αὐτό γε μὴν

1. φαυλοτέροις Q.
ἐωρεῦμαι H.f.g. ἐωρεῦμαι K.Q.
ἐς τοὺς θεοὺς K.
2. ἐν ἀνθρώπους g. ὡς ἀνθρώπους Q.
3. θρασεῖα B.G.K.L. vulgo θαρσεῖα.
Θαρσεῖα] Simonides: Ἐλπὶς δὲ πάντας κάλλεσιν θέλῃ ΤΡΕΦΕΙ Ἀτρηκτον ὁρμαίνοντας. et, Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεὶ —Παῦροι—Στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ΕΛΠΙΣ ἑκάστῳ Ἀνδρῶν, ἥ τε νεῶν στήθεσιν ΕΜΦΥΕΤΑΙ—Οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασσέμεν, οὐδὲ θανεῖσθαι, Οὐδ', ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου. Νήπιοι, εἷς ταύτῃ κεῖται νόος. Bacchylides: Ἐλπὶς αἰθύσσει φρένας Ἀναμιγνυμένα Διωνυσίοισι δώροις. Wass. Thomas Magister hic θαρσεῖα exponit, ἡ ὁμολογουμένη καὶ ἀναμφίβολος. Duk.
4. αἱ] οὐ e.
δὴ
ἤδη B.
φοβοῦσαι f.i.
5. τε om. e.i.
6. εὐτυχεῖται e.
10. ἥξειν N.
12. οἷοι] οἱ A.F.H.K.L.O.Q.f. g.i.k.
13. καταπέπληχθε F.H.L.N.O. καταπεπλῆχθαι B.K.c.f. καταπεπλῆσθε D. vulgo καταπεπλῆχθε.

Melior videtur scriptura Codd. in quibus est καταπέπληχθε· quam etiam aliquantum confirmat se-

" τε πόλις εὐθύς ἐστε, ὅποι ἂν καθίζησθε, καὶ ἄλλη οὐ-
" δεμία ὑμᾶς τῶν ἐν Σικελίᾳ οὔτ' ἂν ἐπιόντας δέξαιτο
" ῥαδίως οὔτ' ἂν ἱδρυθέντας που ἐξαναστήσειε. τὴν δὲ
" πορείαν, ὥστ' ἀσφαλῆ καὶ εὔτακτον εἶναι, αὐτοὶ φυ-
" λάξατε, μὴ ἄλλο τι ἡγησάμενος ἕκαστος ἢ ἐν ᾧ ἂν 5
" ἀναγκασθῇ χωρίῳ μάχεσθαι, τοῦτο καὶ πατρίδα καὶ
" τεῖχος κρατήσας ἔχειν. σπουδὴ δὲ ὁμοίως καὶ νύκτα
" καὶ ἡμέραν ἔσται τῆς ὁδοῦ. τὰ γὰρ ἐπιτήδεια βραχέα
" ἔχομεν· καὶ ἢν ἀντιλαβώμεθά του φιλίου χωρίου τῶν
" Σικελῶν (οὗτοι γὰρ ἡμῖν διὰ τὸ Συρακοσίων δέος ἔτι 10
" βέβαιοι εἰσί), ἤδη νομίζετε ἐν τῷ ἐχυρῷ εἶναι. προπέ-
" πεμπται δ' ὡς αὐτοὺς, καὶ ἀπαντᾶν εἰρημένον καὶ σι-
" τία ἄλλα κομίζειν. τὸ δὲ ξύμπαν, γνῶτε, ὦ ἄνδρες
" στρατιῶται, ἀναγκαῖόν τε ὂν ὑμῖν ἀνδράσιν ἀγαθοῖς
" γίγνεσθαι, ὡς μὴ ὄντος χωρίου ἐγγὺς ὅποι ἂν μαλακι- 15
" σθέντες σωθείητε, καὶ ἢν νῦν διαφύγητε τοὺς πολεμίους,

τὸ, μὴ κατάπεκλῆχθαι, ἀπὸ κοινοῦ, τὸ εἰκός. 3. Ἱδρυθέντας] ἤγουν οἰκήσιν ἀδιάδοχον σχόντας. Ἐξαναστήσειε] μετοικίσειεν. 11. Ἐν τῷ ἐχυρῷ] ἀσφαλεῖ. 13. Τὸ δὲ ξύμπαν] τὸ σύνολον.

quens λογίζεσθε. Καταπεκλῆχθε quomodo προπεμπωμένους scribi possit, non intelligo: sed tamen, καταπεκλῆχθαι inde ortum, credo, quum, qui in suis exemplaribus καταπεκλῆχθε inveniebant, potiorem accentus, quam ultimæ literæ, rationem habendam, putarent. Duk.

1. ἐστε εὐθὺς f.
ὅπου g.
καθέζησθε A.B.D.F.H.K.N.P. Q.b.c.e.f.g.i.k. καθίζησθε L.M.O. vulgo καθέζεσθε.
3. ῥᾳδίως om. c.
οὔτ' B.D.F.H.K.L.M.N.O.g. vulgo οὔδ'.
5. ἂν recepi ex B.
6. τοῦτο καὶ B.D.F.H.K.P.e.f. g.k. ceteri τοῦτο δέ.
7. κρατήσας om. G.
9. ἢν] εἰ μὲν g.
ἀντιλαβώμεθά του Portus: libri ἀντιλαβώμεθα τοῦ.
10. συρρακούσιων i.
11. ἐχυρῷ A.D.F.H.K.L.M.N. P.b.c.e.f.g.i.k.
εἶναι om. P.
προπέπεμπται B.K.c. προπέμπεται M.P.b. vulgo προπέμπετε.
13. δὲ] τε B.
15. ὅπου B.
16. διασωθείητε B.
ἢν] εἰ k.

" οἵ τε ἄλλοι τευξόμενοι ὧν ἐπιθυμεῖτέ που ἐπιδεῖν, καὶ
" οἱ Ἀθηναῖοι τὴν μεγάλην δύναμιν τῆς πόλεως, καίπερ
" πεπτωκυῖαν, ἐπανορθώσοντες· ἄνδρες γὰρ πόλις, καὶ
" οὐ τείχη οὐδὲ νῆες ἀνδρῶν κεναί."

5 Ὁ μὲν Νικίας τοιάδε παρακελευόμενος ἅμα ἐπῄει τὸ στράτευμα, καὶ εἴ πῃ ὁρῴη διεσπασμένον καὶ μὴ ἐν τάξει χωροῦν, ξυνάγων καὶ καθιστὰς, καὶ ὁ Δημοσθένης οὐδὲν ἧσσον τοῖς καθ' ἑαυτὸν τοιαῦτά τε καὶ παραπλήσια λέγων. τὸ δὲ ἐχώρει ἐν πλαισίῳ τεταγμένον, πρῶτον μὲν ἡγούμενον 10 τὸ Νικίου, ἐφεπόμενον δὲ τὸ Δημοσθένους· τοὺς δὲ σκευοφόρους καὶ τὸν πλεῖστον ὄχλον ἐντὸς εἶχον οἱ ὁπλῖται. καὶ ἐπειδή τε ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ παρατεταγμένους τῶν Συρακοσίων καὶ ξυμμάχων, καὶ τρεψάμενοι αὐτοὺς καὶ κρατήσαντες τοῦ πόρου

78. Bifariam divisus exercitus quadrato agmine procedit; priori parti Nicias, alteri Demosthenes praeest. Et apud Anapum quidem fluvium Syracusanos, transitum prohibituros, propellunt et tra-

14. Καὶ τρεψάμενοι] οἱ Ἀθηναῖοι.

1. Οἵ τε ἄλλοι τευξόμενοι] Hanc sententiam ita expressit Xenophon III. Ἀναβάσ. p. 305. Καὶ, ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι. οὐ γάρ ἐστιν ἄλλως τούτου τυχεῖν. Duk.

ὧν] ὡς O.P.

2. καὶ περιπεπτωκυῖαν Q.

3. ἐπανορθώσαντες A.D.F.H.K.g.

Ἄνδρες γὰρ πόλις] Sophocles Œdip. Tyr. v. 53. ἄξεις τῆσδε γῆς, ὥσπερ κρατεῖς, ἣν ἀνδράσιν κάλλιστα, ἡ ΚΕΝΗ΄Σ, κρατεῖν. Ὡς οὐδέν ἐστιν οὔτε πύργος, οὔτε ναῦς, ΈΡΗΜΟΣ ΆΝΔΡΩΝ μὴ ξυνοικούντων ἔσω. Euripides Phrixo: Αἱ γὰρ πόλεις εἰσ' ἄνδρες, οὐκ ΈΡΗΜΙΆ. Nostrum etiam sequitur Dio LVI. p. 575. Wass. Add. Berneggerum ad Justin. II. 12. Duk.

5. μὲν] δὲ L.i.

τάδε K.

6. διεσπαρμένον Q.

9. πλαισίῳ] διπλασίῳ A.D.F. H.L.O.P.Q.d.e.f.g.k.

πρῶτον μὲν ἡγούμενον] Hæc addidi ex B. et margine A.

10. τὸ νικίου B.D.F.f.g.k. τὸ τοῦ νικίου L. vulgo τοῦ νικίου.

ἐφεστόμενον L.O.P.k. ἑπόμενον B.

τὸ] τὸ τοῦ Q.

Τοὺς δὲ σκευοφόρους] Ex more in quadrato agmine. Vid. Xenophontem III. Ἀναβασ. p. 304. et aliquot seqq. qui ibid. p. 310. ostendit, quæ sint incommoda πλαισίου ἰσοπλεύρου, hoste sequente. Duk.

11. ἐντὸς om. D.f.g.

12. ἐπὶ] ἐν B.c.

13. τεταγμένους K

καὶ τῶν ξυμμάχων B.i.

ἐχώρουν ἐς τὸ πρόσθεν· οἱ δὲ Συρακόσιοι παριππεύοντές τε προσέκειντο, καὶ ἐσακοντίζοντες οἱ ψιλοί. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ προελθόντες σταδίους ὡς τεσσαράκοντα, ηὐλίσαντο πρὸς λόφῳ τινὶ οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ πρωῒ ἐπορεύοντο, καὶ προῆλθον ὡς εἴκοσι σταδίους, καὶ κατέβησαν ἐς χωρίον ἄπεδόν τι, καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο, βουλόμενοι ἔκ τε τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον (ὠκεῖτο γὰρ ὁ χῶρος) καὶ ὕδωρ μετὰ σφῶν αὐτῶν φέρεσθαι αὐτόθεν· ἐν γὰρ τῷ πρόσθεν ἐπὶ πολλὰ στάδια, ᾗ ἔμελλον ἰέναι, οὐκ ἄφθονον ἦν. οἱ δὲ Συρακόσιοι ἐν τούτῳ προελθόντες τὴν δίοδον τὴν ἐν τῷ πρόσθεν ἀπετείχιζον· ἦν δὲ λόφος καρτερὸς καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης, ἐκαλεῖτο δὲ Ἀκραῖον λέπας. τῇ δ' ὑστεραίᾳ οἱ Ἀθηναῖοι προῄεσαν, καὶ οἱ τῶν Συρακοσίων καὶ ξυμμάχων αὐτοὺς ἱππῆς καὶ ἀκοντισταί, ὄντες πολλοὶ ἑκάτεροι, ἐκώλυον, καὶ ἐσηκόντιζόν τε καὶ παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ Ἀθηναῖοι, ἔπειτα ἀνεχώρησαν πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον· καὶ τὰ ἐπιτήδεια οὐκέτι ὁμοίως

jiciunt; sed in ulteriore itinere ubique ab equitibus levique armatura hostium premuntur, ita ut non amplius quadraginta stadiorum iter conficerent, postridie vero viginti tantum. Interim Syracusani transitum quendam montanum, quem ingressuri erant Athenienses, obstruunt; quo frustra oppugnato, in priorem stationem Athenienses tertio die redire coguntur.

6. Ἄπεδόν] ὁμαλόν, ὁμόπεδον, ὡς καὶ ἄλοχος ἡ ὁμόλεχος. 11. Ἀπε-

1. ἔμπροσθεν L.O.P.
2. τε om. L.O.k.
3. προσελθόντες A. B. D. F. H. L.O.Q.d.e.f.g.i.k.
5. προσῆλθον i.
6. Κατέβησαν—ἐδώδιμον] Suidas in ἄπεδον, sed τε omittit male. Pro ὁμόπεδον, quod est in Scholiaste, dat ἰσόπεδον recte; neque aliter Hesychius. Vide Pollucem I. 186. Thom. Magister in ἄπεδος tamen, ἄπεδος χώρα ὁμαλὴ, καὶ οἷον ὁμόπεδος. Herodotum sequutus est Noster. Scholiasten sequitur Etymolog. p. 125. Κατέβησαν—τι Thom. Magister. Wass. Adde eumdem in βούλομαι. Duk.
7. οἰκεῖων A.B.i.
9. ἔμπροσθεν Q.
ᾗ om. B.
10. προσελθόντες H.i.
11. ἔμπροσθεν f.i.
ἐπετείχιζον K.
δὲ ὁ λόφος f.
13. ἀσκραῖον A.
14. καὶ τῶν ξυμμάχων e.
αὐτῶν Q.i. om. L.O.
15. ἑκατέρωθεν B.i.
18. αὐτὸ om. O.
ὁμοίως εἶχον οὐκέτι f.

εἶχον. οὐ γὰρ ἔτι ἀποχωρεῖν οἷόν τ' ἦν ὑπὸ τῶν ἱππέων. * πρωὶ δὲ ἅπαντες ἐπορεύοντο αὖθις, καὶ ἐβιάσαντο πρὸς τὸν λόφον ἐλθεῖν τὸν ἀπεστεπειχισμένον, καὶ εὗρον πρὸ ἑαυτῶν ὑπὲρ τοῦ ἀπεστειχίσματος τὴν πεζὴν στρατιὰν παρατεταγμένην οὐκ ἐπ' ὀλίγων ἀσπίδων· στενὸν γὰρ ἦν τὸ χωρίον. καὶ προσβαλόντες οἱ Ἀθηναῖοι ἐτειχομάχουν, καὶ βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, (διικνοῦντο γὰρ ῥᾷον οἱ ἄνωθεν) καὶ οὐ δυνάμενοι βιάσασθαι ἀνεχώρουν πάλιν καὶ ἀνεπαύοντο. ἔτυχον δὲ καὶ βρονταί τινες ἅμα γενόμεναι καὶ ὕδωρ, οἷα τοῦ ἔτους πρὸς μετόπωρον ἤδη ὄντος φιλεῖ γίγνεσθαι· ἀφ' ὧν οἱ

79. Quarto iterum frustra tentant munitionem Syracusanorum, jam magno peditatu firmatam; tonitrua autem et imbres incidentes magis etiam attonitos animos perturbant. Neque mul-

τείχιζον] σκέψαι, πῶς χρῆται τῇ ἀπό. ἐπιτατικῶς γάρ. 1. Οὐ γὰρ ἔτι ἀποχωρεῖν] ἀποσκίδνασθαι ἀπὸ τοῦ στρατεύματος. οὐκ ἦν ἐπιτήδειον ἀποχωρεῖν, κωλυόντων τῶν ἱππέων. 2. Ἅπαντες] ἀντὶ τοῦ κινηθέντες. 8. Διικνοῦντο γὰρ] ἀντὶ τοῦ ἐξικνοῦντο βάλλοντες. 11. Φιλεῖ γίγνεσθαι] ἐκ περουσίας τοῦτο προσέῤῥηται.

1. οὐ] καὶ k.
ὑπὸ A.B.D.F.H.K.N.c.d.e.g.k. vulgo ἀπό.
Ἀπὸ τῶν ἱππέων] Hoc quidem sine vitio dici posse, sed tamen ex auctoritate plerorumque MSS. potius ὑπὸ legendum arbitror. Thucydides IV. 64. Καὶ τοὺς ἄλλους δικαιῶ ταυτό μοι ποιῆσαι ὑφ' ὑμῶν αὐτῶν, καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. VIII. 13. Αἱ Πελοποννησίων ἑκκαίδεκα νῆες—κοπεῖσαι ὑπὸ τῶν Ἀττικῶν ἑπτὰ καὶ εἴκοσι νεῶν. Duk.
2. αὖθις om. d.
πρὸς] ἐς c.
3. τὸν om. K.
5. οὐκ om. O.
Οὐκ ἐπ' ὀλίγων ἀσπίδων] Οὐκ sine dubio perperam omittit Cod. C. Nec recte ἐπ' ὀλίγων habet Reg. pro ἐπ' ὀλίγων. Loquitur autem, ut puto, Thucydides de ordinibus εἰς βάθος instructis: nam angustiæ loci non patiebantur aciem εἰς μῆκος instrui. Xenophon II. Hist. Gr. p. 472. Καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον, ἢ ἐπὶ πεντήκοντα ἀσπίδων. Lucianus Zeux. p. 581. Ἐς βάθος δὲ ἐπὶ τεττάρων καὶ εἴκοσι τεταγμένους ὁπλίτας. ubi vid. Gronovium. De navibus Thucydides II. 90. Ἐπὶ τεσσάρων τεταγμένοι τὰς ναῦς. Duk.
ἀπ' g.
6. προσλαβόντες d.
7. Βαλλόμενοι—ἀνεχώρουν] Suidas in ἐπάντους, ubi exponit ὑψηλοῦ. Vid. Thom. Magistrum, qui hæc non recte e lib. sexto adducit, et Phavorinum. Vix alibi legitur, sed Homerico ἄνωθεν respondet. Wass.
ἀπὸ] ὑπὸ D.g.
9. ἀπεχώρουν B.
πάλιν] πάνυ c.
δὲ] γὰρ B.
10. τινὲς καὶ βρονταὶ i.
11. πρὸς τὸ G. ἐς τὸ Q.

tum aberat, quin Gylippus eos a tergo quoque intercluderet; sed quinto die ab omni parte eos in itinere ita vexabat, ut non amplius sex stadia pergerent.

Ἀθηναῖοι μᾶλλον ἔτι ἠθύμουν, καὶ ἐνόμιζον ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ καὶ ταῦτα πάντα γίγνεσθαι. ἀναπαυομένων δὲ αὐτῶν, ὁ Γύλιππος καὶ οἱ Συρακόσιοι πέμπουσι μέρος τι τῆς στρατιᾶς ἀποτειχιοῦντας αὖ ἐκ τοῦ ὄπισθεν αὐτοὺς, ᾗ προεληλύθεσαν· ἀντιπέμψαντες δὲ κἀκεῖνοι σφῶν αὐτῶν τινὰς διεκώλυσαν. καὶ μετὰ ταῦτα πάσῃ τῇ στρατιᾷ ἀναχωρήσαντες πρὸς τὸ πεδίον μᾶλλον οἱ Ἀθηναῖοι ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ προὐχώρουν, καὶ οἱ Συρακόσιοι προσέβαλλόν τε πανταχῇ αὐτοῖς κύκλῳ καὶ πολλοὺς κατετραυμάτιζον, καὶ εἰ μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ὑπεχώρουν, εἰ δ' ἀναχωροῖεν, ἐπέκειντο, καὶ μάλιστα τοῖς ὑστάτοις προσπίπτοντες, εἴ πως κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβήσειαν. καὶ ἐπὶ πολὺ μὲν τοιούτῳ τρόπῳ ἀντεῖχον οἱ Ἀθηναῖοι, ἔπειτα, προελθόντες πέντε ἢ ἓξ σταδίους, ἀνεπαύοντο ἐν τῷ πεδίῳ· ἀνεχώρησαν δὲ καὶ οἱ Συρακόσιοι ἀπ' αὐτῶν ἐς τὸ ἑαυτῶν στρατόπεδον.

80. Tum Niciæ et Demostheni videbatur, non Catanam, sed Gelam et Camarinam versus

Τῆς δὲ νυκτὸς τῷ Νικίᾳ καὶ Δημοσθένει ἐδόκει, ἐπειδὴ κακῶς σφίσι τὸ στράτευμα εἶχε τῶν ἐπιτηδείων πάντων ἀπορίᾳ ἤδη, καὶ κατατετραυματισμένοι ἦσαν πολλοὶ ἐν πολλαῖς προσβολαῖς τῶν πολεμίων γεγενημέναις, πυρὰ καύσαντες ὡς πλεῖστα ἀπάγειν τὴν στρατιὰν, μηκέτι τὴν

1. μᾶλλον γὰρ ἔτι B.
3. αὐτῶν καὶ ὁ B.
4. τι om. d.i.
ἀποτειχιοῦντες A.D.F.H.g.
αὖ accessit ex B.
5. προεληλύθησαν k. προσεληλύθεσαν Q.
6. τοῦτο B.
7. τῇ om. Q.
9. προσέβαλόν D.Q.f.k.
κύκλον i.
12. τρεψάμενοι B.
13. ἐς πολὺ P.
18. καὶ τῷ δημοσθένει Q.f.
19. καλῶς g.
τῶν ἐπιτηδείων B. vulgo τῶν τε ἐπιτηδείων.
πάντων] πάντων τ' i.
20. ἀπορίαι B. vulgo ἀπορία.
21. προσβολαῖς om. K.
22. τὴν ὁδὸν αὐτὴν Q.
καύσαντας A.B.D.F.f.g.
Καύσαντες] Reg. non male καύσαντας. Thucydides I. 139. Καὶ ἐδόκει (nempe τοῖς Ἀθηναίοις) ἅπαξ περὶ ἁπάντων βουλευσαμένους

αὐτὴν ὁδὸν ᾗ διενοήθησαν, ἀλλὰ τοὐναντίον ἢ οἱ Συρακόσιοι ἐτήρουν, πρὸς τὴν θάλασσαν. ἣν δὲ ἡ ξύμπασα ὁδὸς αὕτη οὐκ ἐπὶ Κατάνης τῷ στρατεύματι, ἀλλὰ κατὰ τὸ ἕτερον μέρος τῆς Σικελίας, τὸ πρὸς Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις καὶ Ἑλληνίδας καὶ βαρβάρους. καύσαντες οὖν πυρὰ πολλὰ ἐχώρουν ἐν τῇ νυκτί. καὶ αὐτοῖς, οἷον φιλεῖ καὶ πᾶσι στρατοπέδοις, μάλιστα δὲ τοῖς μεγίστοις, φόβοι καὶ δείματα ἐγγίγνεσθαι, ἄλλως τε καὶ ἐν νυκτί τε καὶ διὰ πολεμίας καὶ ἀπὸ πολεμίων οὐ πολὺ ἀπεχόντων ἰοῦσιν, ἐμπίπτει ταραχή· καὶ τὸ μὲν Νικίου στράτευμα, ὥσπερ ἡγεῖτο, ξυνέμενέ τε καὶ προὔλαβε πολλῷ, τὸ δὲ Δημοσθένους, τὸ ἥμισυ μάλιστα καὶ πλέον, ἀπεσπάσθη τε καὶ ἀτακτότερον ἐχώρει. ἅμα δὲ τῇ ἕῳ ἀφικνοῦνται ὅμως πρὸς τὴν θάλασσαν, καὶ ἐσβάντες εἰς τὴν ὁδὸν τὴν Ἑλωριναίαν καλουμένην ἐπορεύοντο, ὅπως,

iter dirigere, atque noctu abire, ne hostes sentirent. Ignibus igitur multis accensis, per noctem procedebant, Niciæ quidem agmen compositum, Demosthenis vero distractius neque servatis ordinibus. Mane ad mare perveniunt et in Helorinam viam intrant, quam usque ad Cacyparim fluvium persequuntur;

1. Τοὐναντίον ἢ οἱ Συρακούσιοι] ἀντὶ τοῦ ἤπερ. 12. Τὸ ἥμισυ] δηλονότι τοῦ παντός. 14. Ἀφικνοῦνται ὅμως] ἤγουν οὕτω.

ἀποκρίνεσθαι. VII. 40. Ἔπειτα οὐκ ἐδόκει τοῖς Ἀθηναίοις, αὐτοῦ ὑπὸ σφῶν αὐτῶν διαμέλλοντας κόπῳ ἁλίσκεσθαι. VI. 55. Ἱππάρχῳ δὲ ξυνέβη, τοῦ πάθους τῇ δυστυχίᾳ ὀνομασθέντα καὶ τὴν δόξαν τῆς τυραννίδος ἐς τὰ ἔπειτα προσλαβεῖν. Et VII. 56. Ξυνέβη δὲ τοῖς Κρησὶ, τὴν Γέλαν Ῥοδίοις ξυγκτίσαντας μὴ ξὺν τοῖς ἀποίκοις, ἀλλ' ἐπὶ τοὺς ἀποίκους ἄκοντας μετὰ μισθοῦ ἐλθεῖν. In quibus supplendum est αὐτοὺς et αὐτόν. Paullo post non muto vulgatum ἢ οἱ cum quibusdam MSS. et Edd. Aristophanes Plut. v. 14. Τἀναντίον δρῶν, ἢ προσῆκ' αὐτῷ ποιεῖν. Et sic sæpe apud alios ἐναντίον ἤ. Duk.

1. ἢ A.K.g.

4. μέρος om. B. ante τὸ ἕτερον ponit Q.

5. ταύτῃ] ταύτας P.

6. αὐτοὶ e.

8. δείγματα K.i.

καὶ νυκτὶ καὶ g.

11. προὔβαλε D.F.g.

12. καὶ πλέον B. vulgo καὶ τὸ πλέον.

13. ἐπεσπάσθη Q. ἀντεσπάσθη K.

15. Τὴν Ἑλωριναίαν] Vid. Holsten. ad Steph. p. 113. et Cluver. *Helorus* Liv. XXIV. 35. Diodor. XIII. p. 340. διὰ τοῦ Ἑλωρίου πεδίου. Gentile ejus Ἑλωρίτης, juxta Etymol. sed confer. Steph. Vibius Sequester Virg. Ovid. *Helorus*. Pliniani libri *Elorus*. Ἕλωρον apud unum Scylacem scribitur. Polybius p. 7. Ἑλλέπορον ποταμὸν mendose etiam effert: MSS. variant, Ἑλλόπερον, Ἑλλεπόρον, Ἑλλέπορον· et sunt ex recentt. omnes. Wass.

tum per mediterranea cursum dirigentes, custodia Syracusanorum quæ ad transitum intercludendum ibi constituta erat, cum impetu repulsa.

ἐπειδὴ γένοιντο ἐπὶ τῷ ποταμῷ τῷ Κακυπάρει, παρὰ τὸν ποταμὸν ἴοιεν ἄνω διὰ μεσογείας· ἤλπιζον γὰρ καὶ τοὺς Σικελοὺς ταύτῃ, οὓς μετεπέμψαντο, ἀπαντήσεσθαι. ἐπεὶ δ' ἐγένοντο ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακοσίων, ἀποτειχίζουσάν τε καὶ ἀποσταυ- 5 ροῦσαν τὸν πόρον. καὶ βιασάμενοι αὐτὴν διέβησάν τε τὸν ποταμὸν, καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν τὸν Ἑρινεόν· ταύτῃ γὰρ οἱ ἡγεμόνες ἐκέλευον.

81. Interim Syracusani elapsos esse Athenienses cum animadvertissent, et Gylippum incusabant, et confestim persequebantur. Ubi autem in Demosthenis turbam circa prandii tempus inciderant, statim ag-

Ἐν τούτῳ δ' οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ὡς ἥ τε ἡμέρα ἐγένετο καὶ ἔγνωσαν τοὺς Ἀθηναίους ἀπεληλυ- 10 θότας, ἐν αἰτίᾳ τε οἱ πολλοὶ τὸν Γύλιππον εἶχον ἑκόντα ἀφεῖναι τοὺς Ἀθηναίους, καὶ κατὰ τάχος διώκοντες, ᾗ οὐ χαλεπῶς ᾐσθάνοντο κεχωρηκότας, καταλαμβάνουσι περὶ ἀρίστου ὥραν. καὶ ὡς προσέμιξαν τοῖς μετὰ τοῦ Δημοσθένους, ὑστέροις τε οὖσι καὶ σχολαίτερον καὶ ἀτακτότερον χω- 15 ροῦσιν, ὡς τῆς νυκτὸς τότε ξυνεταράχθησαν, εὐθὺς προσπεσόντες ἐμάχοντο· καὶ οἱ ἱππῆς τῶν Συρακοσίων ἐκυκλοῦντό τε ῥᾷον αὐτοὺς δίχα δὴ ὄντας, καὶ ξυνῆγον ἐς ταὐτό. τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν πεντήκοντα

6. Καὶ βιασάμενοι] σὺν βίᾳ ἀπωσάμενοι. 12. Ἢ οὐ χαλεπῶς ᾐσθάνοντο] ἤτοι τὸ οὐ χαλεπῶς τῇ ἔγνωσαν συντακτέον, ἵνα ᾖ, ῥᾳδίως ἔμαθον αὐτοὺς ᾗ κεχωρήκεσαν· ἢ τῇ κεχωρηκότας, ἵνα σημαίνῃ, ᾗ ἐδίκουν αὐτοῖς εἰκόλως καὶ ῥᾳδίως κεχωρηκέναι οἱ Ἀθηναῖοι. 18. Δίχα δὴ ὄντας] ἤγουν κεχωρισμένους ἀπὸ τῶν μετὰ Νικίου. Καὶ ξυνῆγον ἐς ταὐτό] ἀντὶ τοῦ ἐκύ-

1. ἐπὶ B. vulgo παρά.
κακυπάρει L. κακυπάρει Q. κοκυπάρει e.
2. διὰ τῆς μεσογείας B.
3. μετεπέμψαντο B. vulgo μετέπεμψαν.
ἐπειδὴ B.D.F.N.i.
4. ἐν e.
5. τε accessit ex B.
6. αὐτοὺς i.
διαβίβασαν g. διέβασαν i.
τε om. Q.
9. ᾗ om. i.
12. καὶ om. i.
14. ὡς] ὅσπερ A.D.F.H.d.e.g.i. k.
15. καὶ ἀτακτότερον om. O.
16. τότε] τε B.
συμπεσόντες G.
17. ἐκύκλουν N. ἐκυκλοῦντο k.
τε] om. B. τότε K.N.
18. δὴ om. Q.d.k. ἤδη B.
19. ἔμπροσθεν Q.i.
πεντήκοντα A.D.F.H.N.Q.e.g. k. ceteri ἑκατὸν καὶ πεντήκοντα.

σταδίους· θᾶσσόν τε γὰρ ὁ Νικίας ἦγε, νομίζων οὐ τὸ ὑπο-
μένειν ἐν τῷ τοιούτῳ ἐκόντας εἶναι καὶ μάχεσθαι σωτη-
ρίαν, ἀλλὰ τὸ ὡς τάχιστα ὑποχωρεῖν, τοσαῦτα μαχομέ-
νους ὅσα ἀναγκάζονται. ὁ δὲ Δημοσθένης ἐτύγχανέ τε τὰ
5 πλείω ἐν πόνῳ ξυνεχεστέρῳ ὢν διὰ τὸ ὑστέρῳ ἀναχωροῦντι
αὐτῷ πρώτῳ ἐπικεῖσθαι τοὺς πολεμίους, καὶ τότε γνοὺς
τοὺς Συρακοσίους διώκοντας οὐ προὐχώρει μᾶλλον ἢ ἐς
μάχην ξυνετάσσετο, ἕως ἐνδιατρίβων κυκλοῦταί τε ὑπ'
αὐτῶν, καὶ ἐν πολλῷ θορύβῳ αὐτός τε καὶ οἱ μετ' αὐτοῦ
10 Ἀθηναῖοι ἦσαν· ἀνειληθέντες γὰρ ἔς τι χωρίον, ᾧ κύκλῳ
μὲν τειχίον περιῆν, ὁδὸς δὲ ἔνθεν τε καὶ ἔνθεν, ἐλάας δὲ
οὐκ ἐλίγας εἶχεν, ἐβάλλοντο περισταδόν. τοιαύταις δὲ
προσβολαῖς καὶ οὐ ξυσταδὸν μάχαις οἱ Συρακόσιοι εἰκό-
τως ἐχρῶντο· τὸ γὰρ ἀποκινδυνεύειν πρὸς ἀνθρώπους ἀπο-

gressi, (absente Nicias agmine) compulsam circumeunt, et undique telis conjiciunt.

κλοῦν ἐς ἐλίγον χωρίον. 2. Ἐν τῷ τοιούτῳ] καιρῷ δηλονότι. 10. Ἀνειληθέντες γὰρ] συστραφέντες. 13. Καὶ οὐ ξυσταδὸν] ἤγων ἐκ τοῦ πλησίον.

2. τῷ g.
ἐν
σωτήριον B. σωτηρίας i.
3. τῷ i.
τοσαῦτα] τὸ σῶμα g. supra versum.
4. ἀναγκάζονται K.
τε om. H.e.
5. πόνῳ B.K.e. ceteri πόνῳ τε.
6. πρώτῳ recepi ex B.D.F.H. L.N.O.P.g.i.k.
8. ξυνετάττετο L.O.k.
9. ὢν addidi ex B.
10. ἐῆσαν e.
ἀναληφθέντες d.
ἔς τι] ἔτι, in margine ἐπὶ, d.i.
11. τε om. K.Q.i.
ἐλάας A.B.D.F.H.K.N.f.g.i.k. ceteri ἐλαίας.
Ἐλαίας] Marg. et Cl. Gr. ἐλάας· opinor, verius. Ita etiam legendum, contendit, apud Nostrum T. Magister. Comicus vero in Ranis τὶς τῆς ἐλάας παρετράγη; Ita etiam Eupolis. Vide Athenæum II. Adamantium Physiogn. II. 26. et Aristidem. Ad hanc formam ἐλαῶν pro ἐλαιῶν in Lexicis Vett. ἐλάϊνος et ἐλαΐνεος apud Homerum. ἐλαολογέω, et ἐλᾶς pro ἐλάας, ut ex Ælio Dionysio, auctore satis idoneo, constat. Verum non tantum Ionici scriptores, sed et Plato, Xenophon, Aristoteles, Theophrastus, qui passim adhibet, aliique innumeri, illud alterum malunt; ideoque, nihil hic immutandum, duximus. Wass. Hæc nondum legeram, quum scribebam ea, quæ ad VI. 99. adnotavi. Duk.
12. ἐβάλλοντο B. ceteri ἐβάλλοντό τε.
δὲ] μὲν L.O.
13. οὐ] οἱ A.

νενοημένους οὐ πρὸς ἐκείνων μᾶλλον ἢν ἔτι ἢ πρὸς τῶν Ἀθηναίων, καὶ ἅμα φειδώ τέ τις ἐγίγνετο ἐπ' εὐπραγίᾳ ἤδη σαφεῖ μὴ προαναλωθῆναί τῳ, καὶ ἐνόμιζον καὶ ὡς ταύτῃ τῇ ἰδέᾳ καταδαμασάμενοι λήψεσθαι αὐτούς. ἐπειδὴ γοῦν δι' ἡμέρας βάλλοντες πανταχόθεν τοὺς Ἀθηναίους καὶ ζυμμάχους ἑώρων ἤδη τεταλαιπωρημένους τοῖς τε τραύμασι καὶ τῇ ἄλλῃ κακώσει, κήρυγμα ποιοῦνται Γύλιππος καὶ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, πρῶτον μὲν τῶν νησιωτῶν εἴ τις βούλεται ἐπ' ἐλευθερίᾳ ὡς σφᾶς ἀπιέναι· καὶ ἀπεχώρησάν τινες πόλεις οὐ πολλαί. ἔπειτα δ' ὕστερον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας τοὺς μετὰ Δημοσθένους ὁμολογία γίγνεται, ὥστε ὅπλα τε παραδοῦναι καὶ μὴ ἀποθανεῖν μηδένα μήτε βιαίως μήτε δεσμοῖς μήτε τῆς ἀναγκαιοτάτης ἐνδείᾳ διαίτης. καὶ παρέδοσαν οἱ πάντες σφᾶς αὐτοὺς ἑξακισχίλιοι, καὶ τὸ ἀργύριον, ὃ εἶχον, ἅπαν κατέθεσαν, ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας, καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας. καὶ τούτους μὲν εὐθὺς ἀπεκόμιζον ἐς τὴν πόλιν· Νικίας δὲ καὶ οἱ μετ' αὐτοῦ ἀφικνοῦνται αὐτῇ τῇ ἡμέρᾳ ἐπὶ τὸν ποταμὸν

82. Denique vulneribus confectos conspicatus Gylippus, per praeconem rogat primum insulanos, si quis velit ad se transire libertatis lege; dein cum ceteris omnibus fit pactio, ut, armis traditis, ne priventur. Ita sex millia se dediderunt. Nicias interim ad Erineum fluvium pervenit.

2. Καὶ ἅμα φειδώ τέ τις ἐγένετο] ὡς ἂν φανερᾶς οὔσης τῆς εὐπραγίας, οὐκ ἐβούλοντο ἀποκινδυνεύειν, ἀλλ' ἐφείδετο αὐτὸς ἑαυτοῦ, ὥστε μὴ προαναλωθῆναι. τουτέστιν ἐνόμιζον καὶ οὕτω λήψεσθαι τοὺς Ἀθηναίους χωρὶς τοῦ αὐτοὶ προαναλωθῆναι καὶ κινδυνεῦσαι. 4. Ταύτῃ τῇ ἰδέᾳ] ἤγουν ταύτῳ τῷ τρόπῳ τῆς μάχης. 5. Πανταχόθεν] ἤγουν κύκλοθεν. 9. Ὡς σφᾶς] ἤγουν εἰς τοὺς

1. πρὸς τὸ τῶν f.g.
τῶν] om. L. τὸ τῶν A.F.H.g.
2. ἐγίγνετο B. om. O.g. ceteri ἐγένετο.
3. τῷ F.H.K.
ὡς καὶ e.i.
4. καταδασάμενοι g.
5. τοὺς om. Q.
7. ποιοῦνται καὶ γύλιππος e.
8. καὶ οἱ συρ. N.
9. ἐπιέναι K.
11. ἅπαντας om. L.O.P.k.
μετὰ τοῦ δημοσθένους i.
13. μὴ om. L.O.
δεσμῷ Q.
14. τοῖς ἀναγκαιοτάτοις H.
18. ἀπεκόμιζον A.B.D.F.G.H. K.L.O.Q. c.d.e.f.g.i.k. vulgo ἀπεκόμισαν.
19. αὐτὸν A.D.
ταύτῃ τῇ ἡμέρᾳ ἀφικνοῦνται B.

τὸν Ἐρινεὸν, καὶ διαβὰς πρὸς μετέωρόν τι καθῖσε τὴν στρατιάν.

83. Οἱ δὲ Συρακόσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν ἔλεγον ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώκοιεν σφᾶς αὐτοὺς, κελεύοντες κἀκεῖνον τὸ αὐτὸ δρᾶν· ὁ δ' ἀπιστῶν σπένδεται ἱππέα πέμψαι σκεψόμενον. ὡς δ' εἰχόμενος ἀπήγγειλε πάλιν παραδεδωκότας, ἐπικηρυκεύεται Γυλίππῳ καὶ Συρακοσίοις εἶναι ἑτοῖμος ὑπὲρ Ἀθηναίων ξυμβῆναι, ὅσα ἀνάλωσαν χρήματα Συρακόσιοι ἐς τὸν πόλεμον, ταῦτα ἀποδοῦναι, ὥστε τὴν μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι αὐτούς· μέχρι οὗ δ' ἂν τὰ χρήματα ἀποδοθῇ, ἄνδρας δώσειν Ἀθηναίων ὁμήρους, ἕνα κατὰ τάλαντον. οἱ δὲ Συρακόσιοι καὶ Γύλιππος οὐ προσεδέχοντο τοὺς λόγους, ἀλλὰ προσπεσόντες καὶ περιστάντες πανταχόθεν ἔβαλλον καὶ τούτους μέχρι ὀψέ. εἶχον δὲ καὶ οὗτοι πονηρὰς σίτου τε καὶ τῶν ἐπιτηδείων ἀπορίας. ὅμως δὲ τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον ἔμελλον πορεύεσθαι. καὶ ἀναλαμβάνουσί τε τὰ ὅπλα, καὶ οἱ Συρακόσιοι αἰσθάνονται καὶ ἐπαιώνισαν. γνόντες δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνου-

83. Postridie, (qui dies erat septimus ab eo, quo castra reliquerant) etiam eum Syracusani consecuti ad deditionem provocarunt. Sed Nicias postulavit, ut exercitui Athenas abire liceret, Athenienses autem omnes sumptus, quos in hoc bellum fecissent Syracusani, his restituerent. Quibus conditionibus non acceptis, Syracusani et hos Athenienses circumstetetunt, telis urgentes usque ad vesperam, et nocte, cum abire pararent, quo minus pergerent, prohibuerunt, excep-

Συρακουσίους. 16. Τῆς νυκτὸς φυλάξαντες τὸ ἡσυχάζον] καθ' ὃ μάλιστα τῆς

1. τι om. d.e.
καθεῖσε A.D.F.H.L.O.P.Q.d. e.g.k. ἐκαθεῖσε B. καθῆσαι f. vulgo ἐκάθισε.
Ἐκάθισε] Quinque MSS. καθεῖσε. Ita Homerus Iliad. ί. v. 36. et Iliad. ξ'. v. 204. ubi vid. Eustathium p. 978. pro ἐκάθισε, καθίδρυσε, collocavit. Prosæ scriptores an eo utantur, mihi nondum compertum est. Nec tamen valde probabile videtur, e capite imperitorum scribarum esse; et fortassis interpretatio Magistrorum locum veræ scripturæ occupavit, ut sæpe alibi. Duk.
4. μετὰ τοῦ δημοσθένους f.i. παραδεδόκασι g.
5. ἐγκελεύοντες L. ἐκελεύοντό τε O.
7. ἀπήγγελλε D.
8. συμβῆναι K.
10. ὡς τήν.
11. οὗ δ'] δ' οὗ B.
13. καὶ ὁ γύλιππος O.Q.i.
14. ἔβαλον K.f.
16. τῶν ἐπιτηδείων A.B.F.H.K. L.N.O.P.c.d.e.f.g.i.k. ceteri τῶν ἄλλων ἐπιτηδείων.
17. πορεύεσθαι A.B.L.N.O.g.i. ceteri πορεύεσθαι.
19. ἐπαιώνισαν L.O.Q.e. ἐπαιώνησαν d.

tis trecentis, qui pervaserant custodiam.

84. Proficiscenti postridie Niciæ Syracusani instant; tamen ad Assinarum fluvium perveniunt, in quem partim ab hoste conjecti, partim siti compulsi, ita se propiiunt, ut alius alium conculcaret, multos hostis conficeret.

σι, κατέθεντο πάλιν, πλὴν τριακοσίων μάλιστα ἀνδρῶν· οὗτοι δὲ διὰ τῶν φυλάκων βιασάμενοι ἐχώρουν τῆς νυκτὸς ἢ ἐδύναντο. * Νικίας δὲ, ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τὴν στρατιάν· οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον πανταχόθεν βάλλοντές τε καὶ κατα- 5 κοντίζοντες. καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου, οἰόμενοι ῥᾷόν τι σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμὸν, ἅμα δὲ ὑπὸ τῆς ταλαιπωρίας καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. 10 ὡς δὲ γίγνονται ἐπ' αὐτῷ, ἐσπίπτουσιν οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ πᾶς τέ τις διαβῆναι αὐτὸς πρῶτος βουλόμενος καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν ἐποίουν· ἀθρόοι γὰρ ἀναγκαζόμενοι χωρεῖν ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί τε τοῖς δορατίοις καὶ σκεύεσιν οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κα- 15

νυκτος ἔμελλον οἱ πολέμιοι ἡσυχάζειν. 2. Οὗτοι δὲ διὰ τῶν φυλάκων βιασάμενοι] ἤγουν διελθόντες τοὺς φύλακας σὺν βίᾳ. 11. Ἐπ' αὐτῷ] ἤγουν παρ' αὐτῷ. 16. Οἱ δὲ ἐμπαλασσόμενοι κατέβρεον] ἀντὶ τοῦ ἐμπλεκόμενοι κατέκυπτον.

1. πλὴν] τὴν D.
2. βιασάμενοι] βιαζόμενοι G. κομισάμενοι K.
4. προσέκειντο κατὰ τὸν P.
5. ἀκοντίζοντες d.g.
6. ἀσσιναρὸν K. ἀστιναρὸν i.
8. τε καὶ πολλῶν e.
9. οἰόμενοι δὲ ῥᾷόν g.
10. ὑπὸ om. Q.
11. δ' ἐγένοντο g. δ' ἐγίγνοντο d.
12. αὐτὸς accessit ex A.B.D.F. H.K.L.N.O.P.d.e.f.g.i.k.
15. περί τε om. D.g.
σκεύεσι καὶ οἱ g.
16. Οἱ δὲ ἐμπαλασσόμενοι—Ἀθηναίους] Suidas in ἐμπαλασσόμενοι. ibi omittit τε, et περιστάντες δὲ οἱ legit: vocem ἐμπαλασσόμενοι, ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φυρόμενοι interpretatus est apud Eustath. ad Homer. Iliad. ε'. pag. 527. Ed. Rom. Ælius Dionysius. Wass. Suidas quoque alia distinctione, κατέβρεον ἐς τὰ ἐπὶ θάτερα τοῦ ποταμοῦ. περιστάντες δὲ οἱ Συρακούσιοι. Et sic etiam Gr. nec deterius, ut mihi videtur. Nam Thucydides postea demum dicit, hostes Atheniensium fluvium ingressos. Hesychium in ἐμπαλέξαι, et ἐμπαλώγματα bene ex hoc loco emendant Sopingius et Salmasius. Phavorinus in παλάσσεσθαι Eustathium describens perperam habet ἐμπασσόμενοι, pro ἐμπαλασσόμενοι. Duk.
ἐπαλασσόμενοι g. ἐμπλασσόμενοι i. ἐπ' ἀλλασσόμενοι D.

τέρρεον. ἐς τὰ ἐπὶ θάτερά τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακόσιοι (ἦν δὲ κρημνώδες) ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους, καὶ ἐν κοίλῳ ὄντι τῷ ποταμῷ ἐν σφίσιν αὐτοῖς ταρασσομένους. 5 οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο, ἀλλ' οὐδὲν ἧσσον ἐπίνετό τε ὁμοῦ τῷ πηλῷ, ἡματωμένον, καὶ περιμάχητον ἦν τοῖς πολλοῖς. * τέλος δὲ νεκρῶν τε πολλῶν ἐπ' ἀλλήλοις ἤδη κειμένων ἐν τῷ ποταμῷ, καὶ διεφθα- 10 αρμένου τοῦ στρατεύματος τοῦ μὲν κατὰ τὸν ποταμὸν, τοῦ δὲ, καὶ εἴ τι διαφύγοι, ὑπὸ τῶν ἱππέων, Νικίας Γυλίππῳ ἑαυτὸν παραδίδωσι, πιστεύσας μᾶλλον αὐτῷ ἢ τοῖς Συρακοσίοις· καὶ ἑαυτῷ μὲν χρῆσθαι ἐκέλευεν ἐκεῖ-

85. Tandem Nicias Gylippo se dedit, isque cædi finem imponit. Numerus captivorum exiguus; plurimi a Syracusa-

ἑτοίμως ἔπεσον. 7. Καὶ περιμάχητον ἦν τοῖς πολλοῖς] ἤγουν σπουδαιότατον.

1. τὰ] τὸ L.O.
περιστάντες f.
2. οἱ συρ. om. g.
ἔβαλον f.
3. πίνοντάς K.
τοὺς om. B.H.g.i.
ἀσμένους B.Q.
4. τῷ om. O.
αὐτοῖς τε ταρασσομένους d.
5. Οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες—τοῖς πολλοῖς] Longinus περὶ ὕψους cap. 38. hæc tamquam exemplum optimæ hyperboles proponit. Sed pro Πελοποννήσιοι habet Συρακούσιοι, quod fortassis verum est. Nam quum in tota hac narratione de fuga Atheniensium inde a cap. 78. usque ad hunc locum nusquam Peloponnesios, fere ubique Syracusanos, et semel iterumque Syracusanos et eorum socios nominet, quæ causa dici potest, cur hic potissimum Peloponnesios memorare voluerit? Paullo post in eodem est ἐπίνετο ὁμοῦ. Pro καὶ περιμάχητον ἦν τοῖς πολλοῖς, Tollius ibi e MS. Vatic. adnotavit καὶ τοῖς πολλοῖς ἔτι ἦν περιμάχητον· quod et ipsum consideratione dignum est. Dux.
καταβάντες d.i.
τῷ om. K.L.O.k.
7. ἧσσον om. f.
τε om. e.
ἡματωμένῳ d.i.
8. δὲ e.
τε om. d.i.
9. ἤδη om. G.
διακειμένων P.
10. Τοῦ στρατεύματος] Diodorus p. 340. πρὸς τῷ Ἀσιναρῳ ποταμῷ περικυκλώσαντες, ἀπέκτειναν μὲν μυρίους ἑκτακισχιλίους, ἐζώγρησαν δὲ ἑπτακισχιλίους. Noster interemtorum numerum tacet. Waas.
11. νικίας A.B.D.F.H.K.L.O. Q.c.d.e.f.g.i.k. vulgo ὁ νικίας.
13. τοῖς om. K.
χρήσασθαι B.
Ἑαυτῷ μὲν χρῆσθαι] Formula

nis in servitutem abrepti furtim, plures etiam cæsi; multi evaserant et postea quoque evadebant. His solis Catanam reverti licuit.

νόν τε καὶ Λακεδαιμονίους ὅ τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας παύσασθαι φονεύοντας. καὶ ὁ Γύλιππος μετὰ τοῦτο ζωγρεῖν ἤδη ἐκέλευε· καὶ τούς τε λοιπούς, ὅσους μὴ ἀπεκρύψαντο (πολλοὶ δὲ οὗτοι ἐγένοντο), ξυνεκόμισαν ζῶντας, καὶ ἐπὶ τοὺς τριακοσίους, οἳ τὴν φυλακὴν διεξῆλθον τῆς νυκτὸς, πέμψαντες τοὺς διωξομένους ξυνέλαβον. τὸ μὲν οὖν ἀθροισθὲν τοῦ στρατεύματος ἐς τὸ κοινὸν οὐ πολὺ ἐγένετο, τὸ δὲ διακλαπὲν πολὺ, καὶ διεπλήσθη πᾶσα Σικελία αὐτῶν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως, ὥσπερ τῶν μετὰ Δημοσθένους, ληφθέντων. μέρος δέ τι οὐκ ὀλίγον καὶ ἀπέθανε· πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο. καὶ ἐν ταῖς ἄλλαις προσβολαῖς ταῖς κατὰ τὴν πορείαν συχναῖς γενομέναις οὐκ ὀλίγοι ἐτεθνήκεσαν. πολλοὶ δὲ ὅμως καὶ διέφυγον, οἱ μὲν καὶ πα-

4. Ὅσους μὴ ἀπεκρύψαντο] ὅσους δηλαδὴ μὴ διέκλεψαν οἱ Συρακούσιοι. 8. Καὶ κατεπλήσθη] γράφεται διεπλήσθη. 11. Πλεῖστος γὰρ δὴ φόνος οὗτος] ἀντὶ τοῦ πολὺ πλείων τοῦτο ἀκουστέον. οὐδὲ γὰρ ἐγγὺς ἐν τῷ Σικελικῷ πολέμῳ τοσοῦτος ἄλλος φόνος ἐγένετο. ἐμοὶ δὲ φαίνεται γεγράφθαι, καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Ἑλληνικῷ πολέμῳ ἐγένετο. λέγει γὰρ αὐτὸς ἐπὶ τέλει τῇδε τῆς ἱστορίας "συνέβη τε, τοῦτο τὸ ἔργον τὸ Ἑλληνικὸν τῶν "κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖ δέ μοι, καὶ ὧν Ἑλληνι-"κῶν ἴσμεν." ἔοικεν οὖν κἀνταῦθα μὴ μόνοις τοῖς Σικελικοῖς, ἀλλὰ πᾶσι

obvia in conditionibus deditionum: II. 4. IV. 69. de qua Stephanus in Append. ad Scripta al. de Dialect. Att. p. 94. Duk.

1. Ὅ, τι βούλονται] Plutarch. 541. Νικίας Γυλίππῳ προσπεσών, εἶπεν, ἔλεος ὑμᾶς, Γύλιππε, λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδεὶς, ὃς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον· τῶν δ' ἄλλων Ἀθηναίων. Hæc et alia prætermisit Noster. Wass.

3. τοῦτο] τοῦ A.D.
τε om. d.
5. ξυγκομίσας A.D.E.H.L.O. P.Q.d.e.g.i.k. ξυγκόμισαν K.
6. πέμψαντες δὲ τοὺς K.
7. ξυνέβαλον D.d.g.i.
9. διεκλήσθη A.B.D.F.H.L. N.O.P.b.d.e.f.g.i.k. vulgo κατεπλήσθη.
πᾶσα ἡ σικελία L.O.
10. μετὰ τοῦ δημοσθένους i.
11. καὶ om. Q.
12. σικελικῷ] ἑλληνικῷ Tusanus.
13. ἐσβολαῖς N. om. A.D.H.L. O.Q.d.e.g.i.k.
14. γενομέναις συχναῖς e.
15. ὅμως διέφυγον O.
παραχρῆμα Q.

ραυτίκα, οἱ δὲ καὶ δουλεύσαντες καὶ διαδιδράσκοντες ὕστερον· τούτοις δ' ἦν ἀναχώρησις ἐς Κατάνην.

86. Syracusani in urbem reversi cum captivis, hos omnes in lautumias includunt, Niciam vero et Demosthenem, invito Gylippo, trucidant.

Ξυναθροισθέντες δὲ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, τῶν τε αἰχμαλώτων ὅσους ἐδύναντο πλείστους καὶ τὰ σκῦλα ἀναλαβόντες, ἀνεχώρησαν ἐς τὴν πόλιν. καὶ τοὺς μὲν ἄλλους Ἀθηναίων καὶ τῶν ξυμμάχων, ὁπόσους ἔλαβον, κατεβίβασαν ἐς τὰς λιθοτομίας, ἀσφαλεστάτην εἶναι νομίσαντες τὴν τήρησιν, Νικίαν δὲ καὶ Δημοσθένην ἄκοντος Γυλίππου ἀπέσφαξαν. ὁ γὰρ Γύλιππος καλὸν τὸ ἀγώνισμα ἐνόμιζεν οἱ εἶναι ἐπὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατήγους κομίσαι Λακεδαιμονίοις. ξυνέβαινε δὲ

τοῖς Ἑλληνικοῖς, ἀντεξετάζειν τὴν συμφορά. 8. Τήρησιν] ἤγουν φυλακήν.

3. ξυαθροισθέντες B. vulgo συναθροισθέντες.

5. λαβόντες D.F.H.N.f.g.

6. ἄλλους τῶν ἀθηναίων Q.

7. Κατεβίβασαν ἐς τὰς Λιθοτομίας] Vid. Nicolai cujusdam et Gylippi Orationes adversarias apud Diodor. pag. 341. et 345. Wass.

Λιθοτομ.] Notus de his Ciceronis locus, l. 5. in Verr. c. 27. Baver.

8. τὴν om. B.D.F.G.H.K.N. c.d.e.f.g.

ἤγειν A.

δὲ] τε d.i.

9. ἄκοντος τοῦ γυλίππου B.

κατέσφαξαν i.

Ἀπέσφαξαν] Lucianus de conscrib. Histor. p. 629. Niciam, ait, interfectum esse, captum vero Demosthenem; Justinus IV. 5. Demosthenem sibi ipsi intulisse manus; recte quidem hic; nam percussit se in prœlio, haud tamen letaliter, teste Plutarcho p. 541. Die mensis Carnei XVII. Athenienses subhastati. Cæterum a Nostro dissidet Diodorus, et, Niciam Gylippo impulsore interemtum, asseverat. XIII. 347. Sed a Nostro stat Plutarchus, Scriptor eruditissimus, et illi hac in parte anteponendus. Confer Euripidem, Fragm. 516. Wass.

Καλὸν τὸ ἀγώνισμα ἐνόμιζεν οἱ εἶναι] Hoc ita effert Plutarchus, μέγα δ' ἡγεῖτο πρὸς δόξαν. Etiam in eo, quod supra III. 82. dicit Thucydides, καὶ ὅτι, ἀπάτῃ περιγινόμενος, ξυνέσεως ἀγώνισμα προσελάμβανε, Scholiastes et Dionysius Halic. in Judic. de Thucydide p. 152. ἀγώνισμα interpretantur δόξαν, *laudem*, vel *opinionem hominum alii gloriosam*. Ἔπαθλον, *præmium*, exponit Suidas apud Aristophanem Ran. v. 286. Λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ. Habet hæc vox in universum significationem laudis, et dicitur de omnibus præclaris studiis ac facinoribus, quæ gloria consequitur. Vid. Thucydidem VII. 56. 59. et VIII. 17. Duk.

10. τοὺς ἄλλους f.i.

τὸν μὲν πολεμιώτατον αὐτοῖς εἶναι, Δημοσθένην, διὰ τὰ ἐν τῇ νήσῳ καὶ Πύλῳ, τὸν δὲ διὰ τὰ αὐτὰ ἐπιτηδειότατον· τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας τῶν Λακεδαιμονίων ὁ Νικίας προὐθυμήθη, σπονδὰς πείσας τοὺς Ἀθηναίους ποιήσασθαι, ὥστε ἀφεθῆναι. ἀνθ' ὧν οἵ τε Λακεδαιμόνιοι ἦσαν αὐτῷ προσφιλεῖς, κἀκεῖνος οὐχ ἥκιστα διὰ τοῦτο πιστεύσας ἑαυτὸν τῷ Γυλίππῳ παρέδωκεν. ἄλλα τῶν Συρακοσίων τινές, ὡς ἐλέγετο, οἱ μὲν δείσαντες, ὅτι πρὸς αὐτὸν ἐκεκοινολόγηντο, μὴ βασανιζόμενος διὰ τὸ τοιοῦτο ταραχὴν σφίσιν ἐν εὐπραγίᾳ ποιήσῃ, ἄλλοι δέ, καὶ οὐχ ἥκιστα οἱ Κορίνθιοι, μὴ χρήμασι δὴ πείσας τινάς, ὅτι πλούσιος ἦν, ἀποδρᾷ καὶ αὖθις σφίσι νεώτερόν τι ἀπ' αὐτοῦ γένηται, πείσαντες τοὺς ξυμμάχους ἀπέκτειναν αὐτόν. καὶ ὁ μὲν τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθνήκει, ἥκιστα δὴ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι, διὰ τὴν πᾶσαν ἐς ἀρετὴν

3. Τοὺς γὰρ ἐκ τῆς νήσου ἄνδρας] τὸ ἑξῆς, προὐθυμήθη, ὥστε ἀφεθῆναι, πείσας τὰς σπονδὰς τοὺς Ἀθηναίους ποιήσασθαι. 16. Διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν] διὰ τὸ πᾶσαν ἀρετὴν νομίμως ἐπιτετηδευκέναι.

1. εἶναι τὸν δημοσθένην Q.
τὰ] τὴν d.
2. καὶ] τῇ Q.
αὐτὰ εἶναι ἐπιτηδειότατον K.
4. τοὺς μὲν γὰρ c.
6. Προσφιλεῖς] Pollux III. 63. usi Xenoph. et Theophrastus. προσφίλεια Æschylus Steph. Ed. 96. προσφιλὲς Lycophron 608. Wass. Rursus Thucydides I. 92. V. 40. Plutarchus Romulo p. 37. Æschylus Sept. adv. Theb. v. 586. et προσφίλεια Ibid. v. 521. Duk.
διὰ τοῦτο recepi ex B.
9. ἐκεκοινολόγητο L.O.
τοιοῦτο A.B.D.F.H.K.f.g.i. ceteri τοιοῦτον.
10. δὲ καὶ] δ' K.
11. δὴ accessit ex B.
13. γένοιτο d.i.
πείσαντες B. vulgo πείσαντές τε.
14. Ὁτιεγγυτάτω τούτων] Thucydide usitatius est ὅτι ἐγγύτατα. I. 143. Χρὴ ὅτι ἐγγύτατα τούτων διανοηθέντας. V. 74. Ἡ μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγένετο. ubi ex hoc loco pro καὶ videri possit legendum ἤ. Et alibi : Γενόμενοι δὲ τῇ γνώμῃ ὅτι ἐγγύτατα τοῦ πάσχειν. Duk.
ἐγγύτατα A.B.D.F.G.H.K.N. Q.e.g. ἐγγυτάτη i. vulgo ἐγγυτάτω.
15. ἐπ'] ὑπ' G.
16. πᾶσαν ἐς ἀρετὴν addidi ex B.H.K.c.d.f.i. et recente γρ. A.

νενομισμένην ἐπιτήδευσιν. * τοὺς δ' ἐν ταῖς λιθοτομίαις οἱ Συρακόσιοι χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν. ἐν γὰρ κείλῳ χωρίῳ ὄντας καὶ ὀλίγῳ πολλοὺς οἵ τε ἥλιοι τὸ πρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι ταὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον, πάντα τε ποιούντων αὐτῶν διὰ στενοχωρίαν ἐν τῷ

87. In lautumiis autem captivi primos septuaginta ferme dies male habebantur, et loci angustia, et aestu, intolerabilique odore. Etiam fame

οὐ γὰρ δὴ νενομισμένην ἀρετὴν τὴν δοκοῦσαν φησί. 2. Χαλεπῶς τοὺς πρώτους χρόνους μετεχείρισαν] ἤγουν τοὺς πρώτους χρόνους χαλεπῶς περιεῖχον. Μετεχείρισαν] ἤγουν ἀκαιρίαν ἔσχον. 5. Καὶ αἱ νύκτες ἐπιγιγνόμεναι] ἀντὶ τοῦ αἱ νύκτες καὶ αἱ ἡμέραι ἀκόμαλον ἐργαζόμεναι τὸ περιέχον, νόσον

1. Ἐς τὸ θεῖον ἐπιτήδευσιν] Acacius, eodem sensu, quo Portus, vertit: *propter summum erga Deorum numen cultum et observantiam.* Niciam pietatem suam erga deos commemorantem inducit Thucydides cap. 76. Πολλὰ μὲν ἐς θεοὺς νόμιμα δεδιῴτημαι· ubi Scholiastes, πολλὰ μὲν ἐς θεῶν τιμὴν ἐπιτήδευσα. πεπολίτευμαι νομίμως. E quibus hujus loci sententia satis perspicitur. Duk.

ἐπιτήδευσιν A.B.D.F.H.K.L. O.Q.c.d.e.f.g.i.k. vulgo ἐς τὸ θεῖον ἐπιτήδευσιν.

2. μετεχείρισαν H.K.

3. καὶ ὀλίγῳ recepi ex B.

Οἵ τε ἥλιοι] Suidas in νεωτερίζειν· τῆς ἡμέρας τὸ πνῖγος ἐλύπει· ex glossatore aliquo. Wass. Hunc locum ante oculos habuit Auctor Vet. Lex. quem e Thucydide ἥλιοι pro *soles*, *æstus*, adferre, scribit Stephanus in Thes. Ælianus XIII. Var. Hist. I. Πεφύκασι δὲ καὶ ὑπὸ τῶν ἡλίων αὐτῇ τὸ πρόσωπον, *a radiis, ab ardoribus solis.* Dionysius Perieg. v. 39. Ἔνθα δὲ πολλὰς ἀοικήτου χθονὸς αὐλὴν Ἐκτέταται, μαλαρῶσι κεκαυμένος ἠελίοισι. Adnotat ibi Eustathius, etiam Libanium et Ælianum πληθυντικῶς dicere οἱ ἥλιοι· sed Libanium τοὺς ἡλίους pro diebus ponere. Respexit fortassis ad l. d. Æliani. Pro diebus utitur etiam Lucianus, vel quisquis alius auctor est, in Philopatri p. 767. de Jove: Αἰθέριοι συνουσιαζεῖσθαι, καὶ ἐς δώδεκ' ἡλίους μὴ ἀφίστασθαι· quæ sunt ex Homeri Il. α'. 425. et v. 492. Et in eodem Philop. p. 778. Ἔλεγον γὰρ, ἡλίους δέκα ἄσιτοι διαμενοῦμεν. Utraque significatione *soles* dicunt Latini. Duk.

4. ἡλεῖοι d.i.

τὸ om. H.K.L.O.k.

καὶ πνῖγος L.O.P.

ἀστέγατον B.

6. ἐπ' ἀσθενείαι B.

7. αὐτῶν om. e.

Πάντα τε ποιούντων] Videtur per πάντα intelligere *requisita* etiam *naturæ*, ut Sallustius loquitur. Steph. Πάντα τε ποιούντων] Honeste. Scymni Frag. de Mossynœcis:—ἔργοις βαρβαρικοῖς —ἐν φανερῷ δ' ἀεὶ ΕΚΑΣΤΑ πράττειν. De iisdem Apollonius II. v. 1020. Ἀλλαὴ δὲ δίκη καὶ θέσμια τοῖσι τέτυκται. Ὅσσα μὲν ἀμφαδίην βέζειν θέμις, ἢ ἐνὶ δήμῳ, Ἢ ἀγορῇ, τάδε ΠΑΝΤΑ δόμοις ἔνι μηχανόων-

et siti urgebantur per octo menses. Sed post septuaginta dies subhastati sunt omnes præter Athenienses, et si qui Sici-

αὐτῷ, καὶ προσέτι τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, οἱ ἔκ τε τῶν τραυμάτων καὶ διὰ τὴν μεταβολὴν καὶ τὸ τοιοῦτον ἀπέθνησκον, καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί, καὶ λιμῷ ἅμα καὶ δίψει ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτῶν ἑκάστῳ ἐπὶ ὀκτὼ μῆνας κοτύλην ὕδατος καὶ δύο κοτύλας σίτου. ἄλλα τε ὅσα εἰκὸς ἐν τοιούτῳ χωρίῳ ἐμ-

κατῆρχον. 3. Καὶ ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί] διὰ τὸ δύσφημον ἀπεσιώπησεν αὐτὰ ὀνομαστὶ εἰπεῖν. βούλεται δὲ λέγειν τὰ ὑποχωρήματα, ἅπερ οἱ ἰατροὶ

ται. Ὅσσα δ' ἐνὶ μεγάροις πεπονήμεθα, ΚΕΪΝΑ θύραζε Ἀψεγέως μέσσῃσιν ἐνὶ ῥέζουσιν ἀγυιαῖς. Dein auribus non parcit amplius, ut nempe essent, in quibus judicium ejus desideres. De lithotomiis vide Ælianum, Var. Hist. XII. 44. Wass.

1. ξυνενημένων A.F.G.H.g. ξυνενηγμένων L.k. ξυνεπρεγμένων B.O. Q. ξυνηλεγμένων i.

Ξυνενημένων] Id est: σεσωρευμένων. Apud Herodotum plus semel hoc vocabulum legitur; cujus loca in Lexicon Ionicum contulit Portus. Add. Eustathium ad Homer. Iliad. η'. pag. 689. Etymol. M. et ad Il. 52. adnotata. Duk.

3. τοιοῦτο A.D.F.H.f.g.k.

ἀνεκταὶ Q.e. cum Suida v. ξυνενημένοι.

4. δίψῃ D.g.

Δίψει] Reg. δίψῃ. quomodo et IV. 35. Marg. δίψης pro δίψους. Δίψα, si Phavorino credimus, dicebant veteres, δίψος recentiores. Nam ita ille: Δίψα θηλυκοῦ γένους ἐστὶ, τὸ δὲ δίψος τῶν ὑστέρων ἐστίν. Ὅμηρος δὲ δίψαν οἶδε. De Homero quod dicit, verum est; semper enim δίψα, numquam δίψος, apud eum legitur. Nec refugiunt recentiores. Pollux VI. 31. Τὸ πρᾶγμα δίψα καὶ δίψος. Lucianus Dial. Mort. p. 301. Τὴν δίψαν πεφοβημένος. Aristophanes Equit. v. 531. Δίψῃ δ' ἀπολωλός. Sed proverbiorum Græcorum Scriptores, et Suidas in proverbio Δελφὸς ἀνὴρ, ad quod respicit Comicus, habent δίψει· at Suidas in Κονᾶς, Δίψῃ. In Polluce quoque I. 168. variat scriptura. Illud ex Homero constat, antiquius esse ἡ δίψα. Duk.

αὐτῷ c.

5. μῆνας] ἡμέρας N.

Κοτύλην—σίτου] Laudant Pollux VII. 195. Athenæus XI. 8. hæc mensura uncias habet Italicas novem, *hemina* decem: quando aridorum mensura continebat ὀξύβαφα quatuor, uncias novem, quando olei et vini mensura ὀξύβαφα quatuor. Cyathus, hemina, Glossæ. Κοτύλας δύο κριθῶν Plutarchus, ἀλφίτων δύο χοίνικας ex Dioclis sententia datas, narrat Diodorus. Athenæus p. 478. hic ἐδίδοσαν μὲν habet. Confer Eustath. qui pro σίτου legit κριθῶν cum Plutarcho, sed MSS. non variant. Wass. Est apud Eustathium in Il. χ'. p. 1282. cujus scripturam improbat Casaubonus ad Athen. l. d. Add. Jungermann. ad Pollucem. Duk.

6. εἰκὸς ὅσα B.

ἐν τοιούτῳ A.B.F.H.K.L.N.O. e.g.k. vulgo ἐν τῷ τοιούτῳ.

Ἐν τῷ τοιούτῳ χωρίῳ ἀμπεκτικά-

γεπτωκότας κακοπαθῆσαι, οὐδὲν ὅ τι οὐκ ἐπεγένετο αὐτοῖς. καὶ ἡμέρας μὲν ἑβδομήκοντά τινας οὕτω διετέθησαν ἐθρόοι· ἔπειτα, πλὴν Ἀθηναίων καὶ εἴ τινες Σικελιωτῶν ἢ Ἰταλιωτῶν ξυνεστράτευσαν, τοὺς ἄλλους ἀπέδοντο. ἐλήφθησαν δὲ οἱ ξύμπαντες, ἀκριβείᾳ μὲν χαλεπὸν εἰπεῖν, ὅμως δὲ οὐκ ἐλάσσους ἑπτακισχιλίων. ξυνέβη τε ἔργον τοῦτο Ἑλληνικὸν τῶν κατὰ τὸν πόλεμον τόνδε μέγιστον γενέσθαι, δοκεῖν δ' ἐμοιγε, καὶ ὧν ἀκοῇ Ἑλληνικῶν ἴσμεν, καὶ τοῖς τε κρατήσασι λαμπρότατον καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον· κατὰ πάντα γὰρ πάντως νικηθέντες, καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δή, τὸ λεγόμενον, καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅ τι οὐκ ἀπώλετο, καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν. ταῦτα μὲν τὰ περὶ Σικελίαν γενόμενα.

liensium et Italorum cum iis in hac expeditione fuerant. Captivorum numerus erat non minor quam septem millium.

σκύβαλα καὶ ἀποπατήματα εἰώθασι καλεῖν. 4. Ἀπέδοντο] ἐπώλησαν. 11. Καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες] ἐν παντὶ πράγματι μεγάλως κακοπαθήσαντες.

τας] Pro, εἰς τοιοῦτο χωρίον. Stephanus Append. ad Script. de Dial. p. 124. Vide ad III. 105. et ad cap. 17. hujus libri. Anacreon apud Athen. VI. 3. p. 229. Χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν. Sophocles Ajac. 11. Μὴ αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ. Duk.

2. μὲν om. B.
διετέλεσαν Q.
3. οἱ ἀθρόοι d.
εἴ] οἱ D.N.Q.g.
4. ἢ Ἰταλιωτῶν om. L.O.P.d.i.k. ἢ εἴ τινες Ἰταλιωτῶν e.
5. δὲ καὶ οἱ B.
εἰπεῖν B.
7. τὸν om. Q.
8. δοκεῖ d. δοκῇ i.
10. πάντως] πάντες N.
11. Οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες] Idem genus loquendi est supra cap. 59. Ὀλίγον οὐδὲν ἐς οὐδὲν ἐπεύων. Duk.
12. Πανωλεθρίᾳ] Agnoscit Pollux VI. 173. Πανωλεθρίᾳ ἀπολόμενοι, Herodotus. Unde Noster. Wass.
δὴ τὸ] τὸ δὴ G. δὲ τὸ c.
13. ὅ τι] ὡς ὅτι margo H.
πολλοῦ c.
14. ἐπενόστησαν D.g. ἀπενόησαντο Q. ἐπανέστησαν i.
τοιαῦτα d.i.
μὲν om. Q.
περὶ σικελίαν A.B.D.F.G.H.L.O.c.e.g.i.k. vulgo περὶ τὴν σικελίαν.
λεγόμενα D.g.

ΘΟΥΚΥΔΙΔΟΥ ΞΥΓΓΡΑΦΗΣ

Θ.

1. Athenis primum fides abrogabatur nuntiis etiam certissimis; deinde, cum non amplius dubitationi locus relin-

Ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγέλθη, ἐπὶ πολὺ μὲν ἠπίστουν καὶ τοῖς πάνυ τῶν στρατιωτῶν ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγόσι καὶ σαφῶς ἀγγέλλουσι, μὴ οὕτω γε ἄγαν πασσυδὶ διεφθάρθαι· ἐπειδὴ δὲ ἔγνωσαν, χαλεποὶ μὲν ἦσαν τοῖς ξυμπροθυμηθεῖσι τῶν ῥητόρων τὸν ἔκπλουν, ὥσπερ οὐκ αὐτοὶ ψηφισάμενοι, ὠργίζοντο δὲ καὶ

De hujus libri divisione vid. Diod. Sic. XIII. p. 352. Wass. Scribit ibi Diod. Thucyd. hujus belli res gestas XXII. annorum octo libris complexum esse; sed alios eos in novem dividere. Duk.

1. ἐς] ὡς P.

2. Ἠπίστουν] Audi Plutarchum in Nicia p. 542. Ἀθηναίοις δέ φασι τὴν συμφορὰν οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. ξένος γάρ τις, (ὡς ἔοικεν,) ἀποβὰς εἰς Πειραιᾶ, καὶ καθίσας ἐπὶ κουρεῖον, ὡς ἐγνωκότων ἤδη τῶν Ἀθηναίων, λόγους ἐποιεῖτο περὶ τῶν γεγενήτων. ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ, καὶ προσβαλὼν τοῖς Ἄρχουσιν, εὐθὺς κατ' ἀγορὰν ἐνέβαλε τὸν λόγον.—ὡς δὲ, ἐρωτώμενος, παρ' οὗ πύθοιτο, σαφὲς οὐδὲν εἶχε φράζειν, δίξας λογοποιὸς εἶναι εἰς τὸν τροχὸν καταδεθεὶς ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν, ὡς εἶχεν, ἀπαγγέλλοντες. Ubi pro μάχεσθαι legendum, μὴ δέχεσθαι. Wass.

καὶ om. K.

ἐξ] καὶ ἐξ P.

4. ἄγαν B. om. d.i. vulgo ἄν. Supra 1, 75. μὴ οὕτως ἄγαν ἐπιφθόνως.

πασσυδὶ f. πανσυδὶ A.B.C.F.H. K.P.c.d.e.g.i.k. vulgo πανσυδεί.

Πανσυδεὶ] Ita Cl. et alii. recte: quod reposuimus; antea πασσυδεί. Dionys. Halicarn. πασσευδεὶ et πασσευδὶ Antiq. I. 55. sed rectius Codex Vet. πανσυδί. Utroque modo apud veteres pingi, testis Eustathius II. 166. Ælius Dionysius apud eundem, locum hunc adducens, πανσυδεὶ scribit, et παντελῶς reddit. Vide Il. λ'. 708. 724. Il. β'. 12. 29. 66. Denique Pollux VI. 162. hunc, ut videtur, locum adducens, ut ex πανωλεθρία patet, etiam πανσυδὶ legit, contra vero Suidas in πασσυδεὶ, qui corrupte εἰ μὴ οὕτω τε π. hinc emendandus. Utroque modo scribit Hesych. pro quo πασσύριον Æolenses, teste eodem, ejusque exscriptore Phavorino. πανσυδίη Schol. Synes. 408. a. et Aratus in fine Phænom. Wass.

δὲ] τε C.F.H.K.L.d.e.f.g.i.k.

6. δὲ] δέ τι G.

τοῖς χρησμολόγοις τε καὶ μάντεσι, καὶ ὁπόσοι τί τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν. πάντα δὲ πανταχόθεν αὐτοὺς ἐλύπει τε, καὶ περιειστήκει ἐπὶ τῷ γεγενημένῳ φόβος τε καὶ κατάπληξις μεγίστη δή. ἅμα μὲν γὰρ στερόμενοι καὶ ἰδίᾳ ἕκαστος καὶ ἡ πόλις ὁπλιτῶν τε πολλῶν καὶ ἱππέων καὶ ἡλικίας, οἵαν οὐχ ἑτέραν ἑώρων ὑπάρχουσαν, ἐβαρύνοντο· ἅμα δὲ ναῦς οὐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανὰς οὐδὲ χρήματα ἐν τῷ κοινῷ οὐδ' ὑπηρεσίας ταῖς ναυσὶν, ἀνέλπιστοι ἦσαν ἐν τῷ παρόντι σωθήσεσθαι, τούς τε ἀπὸ τῆς Σικελίας πολεμίους εὐθὺς σφίσιν ἐνόμιζον τῷ ναυτικῷ ἐπὶ τὸν Πειραιᾶ πλευσεῖσθαι, ἄλλως τε καὶ τοσοῦτον κρατήσαντας, καὶ τοὺς αὐτόθεν πολεμίους τότε δὴ καὶ διπλασίως πάντα παρεσκευασμένους κατὰ κράτος ἤδη καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης ἐπικείσεσθαι, καὶ τοὺς ξυμμάχους σφῶν μετ' αὐτῶν, ἀποστάντας. ὅμως δὲ, ὡς ἐκ τῶν ὑπαρχόντων, ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύνωνται, ξύλα ξυμπορισαμένους καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων

queretur, invidia populi in eos exarsit, qui expeditionis auctores vel suasores fuerant. Et dolor, inopia, timor undique instabat. Nihilo tamen secius, quas tempus suadebat, quoad per vires licebat, alacriter instituerunt.

1. Καὶ ὁπόσοι τότε αὐτοὺς θειάσαντες] ἀντὶ τοῦ θεοφορηθέντες, δηλονότι ἐπήλπισαν. ἤγουν θεῖά τινα ἐπιφθεγξάμενοι, εἰς ἐλπίδας ἐνέβαλον. 3. Πάντα δὲ πανταχόθεν] δεινὰ δηλονότι. 9. Ἐν τῷ κοινῷ] ταμιείῳ δηλονότι. 16. Σφῶν] τῶν Ἀθηναίων. 17. Ὡς ἐκ τῶν ὑπαρχόντων] τῶν δυνατῶν.

1. Ὁπόσοι—Σικελίαν] Thomas Magister in ἐλπίζω, omisso τί. male. Wass. Thomas ibidem perperam e Luciano Dial. Pluton. et Mercur. adfert ἐλπίζει pro ἐκελπίζει. Vide Hemsterhusium ad hunc locum Luciani. Duk.

τι om. G.L.O.P.k.

2. θειάσαντες Q.

ἔπεισαν B.

5. στερούμενοι A.F.H.N.g.

6. πολλῶν ἱππέων i.

ἡλικίαν k. om. e.

9. ὑπηρεσίαν Q.

14. πάντα om. g.

15. καὶ ἐκ γῆς om. e.

ἐκ om. Q.

θαλάσσης B.

18. ὅθεν om. B.

ἐκείνου c.d.
κινδυνεύωτα d.i.
5. πᾶν δρᾶσαι B.F.H.f. τι πᾶν δρᾶσαι A.L.O. το πᾶν ἂν δρᾶσαι P.g.i.k. τι δρᾶσαι ἂν K. vulgo τι. ἂν δρᾶσαι.
5. αὐτὸν] αὐτῶν H. αὐτὰ f. om. K.
9. φθάσας d.i.
ἄγγελος L.c.d.e.
Ἐξάγγελος] Ammon. ἄγγελος. ἦσαν γάρ τινες τῷ Νικίᾳ διάγγελοι, pro ἐξάγγελοι. Hesych. ἐξάγγελος, ὁ τὰ ἔσω γεγονότα τοῖς ἔξω ἀγγέλλων. Apud Sophoclem Trachin. valet *index*. Apud Demosth. ἐξαγγέλλειν τὰ ἀπόῤῥητα, Philipp. I. Cyrillus in Esaiæ LV. p. 776. Mosen, ait, fuisse ἐξαγγελέα τῆς διψεκοῦς λατρείας. Pro *confessione sacramentali*, in Canone Pœnit. I. Chrysostomi. v. Justinum Dial. cum Tryph. p. 267. Ed. Commelin. et Philostratum de Vitis Soph. I. §. 2. Wass. Add. ad VII. 73. Duk.
10. ὡς] καὶ i.
11. καὶ ἅμα om. A.F.H.N. ἅμα καὶ L.
12. πεπεισμένος B.N.Q.
13. τε] τὴν c.e. om. d.i.
15. πράττων B.
17. θᾶσσον om. e.
παρ' ἀλκιβιάδου K.

λαὶ οὐ πολὺ ὕστερον ἧκον, ὅτι προδίδοταί τε τὸ στράτευμα ὑπὸ Φρυνίχου καὶ οἱ πολέμιοι μέλλουσιν ἐπιθήσεσθαι. δόξας δὲ ὁ Ἀλκιβιάδης οὐ πιστὸς εἶναι, ἀλλὰ τὰ ἀπὸ τῶν πολεμίων προειδὼς τῷ Φρυνίχῳ ὡς ξυνειδότι κατ' ἔχθραν ἀνατιθέναι, οὐδὲν ἔβλαψεν αὐτὸν, ἀλλὰ καὶ ξυνεμαρτύρησε μᾶλλον ταῦτα ἐσαγγείλας.

nire, et omnia diligenter custodire. Atque ita statim et Sami munitio suscepta est, et Alcibiadis litterarum fides concidit.

Μετὰ δὲ τοῦτο Ἀλκιβιάδης μὲν Τισσαφέρνην παρεσκεύαζε καὶ ἀνέπειθεν ὅπως φίλος ἔσται τοῖς Ἀθηναίοις, δεδιότα μὲν τοὺς Πελοποννησίους, ὅτι πλείοσι ναυσὶ τῶν Ἀθηναίων παρῆσαν, βουλόμενον δὲ ὅμως, εἰ δύναιτό πως, πεισθῆναι, ἄλλως τε καὶ ἐπειδὴ τὴν ἐν τῇ Κνίδῳ διαφο-

52. Interim Alcibiades Tissapherni, adhuc hæsitanti et Peloponnesiorum majores opes

του] ἀντὶ τοῦ διὰ τὸ τοιοῦτον. λέγει δὲ τὸ μήνυμα τὸ τοῦ Φρυνίχου. 3. Δέξας δὲ ὁ Ἀλκιβιάδης] τὰ παρὰ τοῦ Ἀλκιβιάδου (φησί) γράμματα οὐδὲν ἔβλαψε τὸν Φρύνιχον, ἀλλὰ μᾶλλον ὠφέλησεν. ψήθησαν γὰρ οἱ Ἀθηναῖοι τὸν Ἀλκιβιάδην παρὰ μὲν τῶν πολεμίων μεμαθηκέναι, ὅτι μέλλουσιν ἐπιθήσεσθαι Σάμῳ, κατεψεύσθαι δὲ ταῦτα Φρυνίχου διὰ τὴν πρὸς αὐτὸν ἔχθραν, ὅτι ἀνατεθεῖσι τοὺς πολεμίους ἐπιθέσθαι Φρύνιχος. 9. Δεδιότα μὲν τοὺς Πελοποννησίους] φησὶν ὅτι ἐδεδίει μὲν ὁ Τισσαφέρνης τὴν ἰσχὺν τῶν Λακεδαιμονίων, ἐβούλετο δὲ ὅμως πεισθῆναι, εἰ δύναιτο, ὑπὸ Ἀλκιβιάδου, μεταθέσθαι πρὸς

1. προδίδοταί B.F.H.d.i. παραδίδοταί c. vulgo παραδίδοται.
τε om. A.F.H.d.
3. ὁ om. L.O.k.
εἶναι om. i.
ὑπὸ d.
5. οὐδὲν B.
καὶ om. g.
6. ἐσαγγείλας B. ἀπαγγείλας A.F.H. ἀπαγγεῖλαι N. vulgo ἐξαγγείλας.
7. ὁ ἀλκιβιάδης g.
μὲν om. i.
10. δύναιθ' ὅπως A.
11. καὶ om. L.
τῇ om. e.
πιστευθῆναι K.L.O.P.c.d.e.f.g. i.k.

Πεισθῆναι] Ita etiam legit Scholiastes. Sed non intelligo, quis sit sensus in illius interpretatione, Tissaphernem metuisse quidem potentiam Peloponnesiorum, sed tamen cupivisse, sibi ab Alcibiade persuaderi, ut, illis desertis, Athenienses socios adsciscceret. Nam ex iis, quæ deinde cap. 56. et 57. dicuntur, adparet, Tissaphernem, etsi ei suspectæ erant vires Peloponnesiorum, tamen eos minime voluisse a se alienare, et cupivisse efficere, ut sibi fidem haberent, se eorum amicitiam societati Atheniensium præferre. Et repugnat expositioni Scholiastæ particula ὅμως, quæ indicat, eum non consultum rebus suis putasse, a Peloponnesiorum societate recedere. Melior, ut mihi videtur, est sententia in scriptura plerorumque MSS. et omnium Edd. ante Stephanum, πιστευθῆναι, quam etiam Interpretes La-

metuenti, persuadere conatur, ut cum Atheniensibus ineat societatem.

ρὰν περὶ τῶν Θηραμένους σπονδῶν ἤσθετο τῶν Πελοπον-
νησίων· ἤδη γὰρ κατὰ τοῦτον τὸν καιρὸν ἐν τῇ Ῥόδῳ ὄν-
των αὐτῶν ἐγεγένητο, ἐν ᾗ τὸν τοῦ Ἀλκιβιάδου λόγον
πρότερον εἰρημένον, περὶ τοῦ ἐλευθεροῦν τοὺς Λακεδαιμο-
νίους τὰς ἁπάσας πόλεις, ἐπηλήθευσεν ὁ Λίχας, οὐ 5
φάσκων ἀνεκτὸν εἶναι ξυγκεῖσθαι κρατεῖν βασιλέα τῶν
πόλεων, ὧν ποτὲ καὶ πρότερον ἢ αὐτὸς ἢ οἱ πατέρες ἦρ-
χον. καὶ ὁ μὲν Ἀλκιβιάδης, ἅτε περὶ μεγάλων ἀγωνιζό-
μενος, προθύμως τὸν Τισσαφέρνην θεραπεύων προσέκειτο·
53. Pisander autem, cum pervenisset Athenas, multis obnitentibus, * οἱ δὲ μετὰ τοῦ Πεισάνδρου πρέσβεις τῶν Ἀθηναίων 10
ἀποσταλέντες ἐκ τῆς Σάμου, ἀφικόμενοι ἐς τὰς Ἀθήνας,
λόγους ἐποιοῦντο ἐν τῷ δήμῳ κεφαλαιοῦντες ἐκ πολλῶν,
μάλιστα δὲ ὡς ἐξείη αὐτοῖς, Ἀλκιβιάδην καταγαγοῦσι

τοὺς Ἀθηναίους. 6. Ἀνεκτὸν εἶναι ξυγκεῖσθαι] ἀντὶ τοῦ ἀνεκτὴν εἶναι συνθήκην. 12. Κεφαλαιοῦντες ἐκ πολλῶν] ἀντὶ τοῦ ἐκ πολλοῦ ἀποδεικνύντες. ἤγουν κεφαλαιωδῶς καὶ ξυντετμημένως λέγοντες. 13. Μάλιστα δὲ, ὡς ἐξείη αὐτοῖς] ὁ δέ σύνδεσμος ἀντὶ τοῦ δή κεῖται, ὡς καὶ ἐν τῇ πρώτῃ, ἐν τῷ "καθ'

tini sequuti sunt. In qua suppleo ὑπ' αὐτῶν, nempe τῶν Πελοποννησίων, ut apud Plutarchum in Apophthegm. p. 330. πιστευθεὶς ὑπὸ τῶν Βυζαντίων, vel πρὸς αὐτῶν· quemadmodum Herodian. II. 10. πρὸς τῶν ἐκεῖ στρατιωτῶν, οὓς ἐψεύσατο, οὐκ ἔτι πιστεύεται. Nam Porti interpretationem in Commentar. ad hunc locum, *cupientem sibi haberi fidem apud Regem*, non magnopere probare possum. Duk.

2. ὄντων om. f.

3. αὐτῷ A.F.H.K.L.O.g.k.

τὸν om. d.i.

Τὸν τοῦ Ἀλκιβιάδου λόγον] Cap. 45. et 46. De illis, ἐπηλήθευσεν ὁ Λίχας, recte sentit Stephanus (esse ἐπηλήθευσε quod paullo ante dixerat ξυνεμαρτύρησε). Similis est locus IV. 85. in princip. ubi vide Scholiasten. Duk.

4. τοὺς recepi ex A.B.F.H.L. N.O.Q.f.g.

5. ἁπάσας τὰς A.F.H.Q.

ἀπηλεύθησεν g. ἐπελήλυθεν d. λιχίας e.

6. εἶναι] εἴη A.F.

7. οἱ om. K.

8. ὁ μὲν A.B.F.H.L.O.P.d.f. g.i.k. ceteri μὲν δὴ ὁ.

9. τὸν τισσαφέρνη F. τὸν τισσαφέρνην A.B.H.

Τῷ] Προσκεῖσθαι hac significatione, non addito casu, etiam VIII. 18. et 78. dicit Thucydides. Duk.

10. μετὰ om. Q.

11. καὶ ἀφικόμενοι A.B.F.H.L. O.P.f.g.

13. τὸν ἀλκιβιάδην Gregor. Cor. p. 79.

καταγαγοῦσι A.B.F.H.f. cum Gregorio: καταγάγουσι N.Q. vulgo κατάγουσι.

καὶ μὴ τὸν αὐτὸν τρόπον δημοκρατουμένοις, βασιλέα τε ξύμμαχον ἔχειν καὶ Πελοποννησίων περιγενέσθαι. ἀντιλεγόντων δὲ πολλῶν καὶ ἄλλων περὶ τῆς δημοκρατίας, καὶ τῶν Ἀλκιβιάδου ἅμα ἐχθρῶν διαβοώντων ὡς δεινὸν εἴη εἰ τοὺς νόμους βιασάμενος κάτεισι, καὶ Εὐμολπιδῶν καὶ Κηρύκων περὶ τῶν μυστικῶν, δι' ἅπερ ἔφυγε, μαρτυρομένων καὶ ἐπιθειαζόντων μὴ κατάγειν, ὁ Πείσανδρος παρελθὼν πρὸς πολλὴν ἀντιλογίαν καὶ σχετλιασμὸν ἠρώτα ἕνα ἕκαστον παράγων τῶν ἀντιλεγόντων, εἴ τινα ἐλπίδα ἔχει σωτηρίας τῇ πόλει Πελοποννησίων ναῦς τε οὐκ ἐλάσσους σφῶν ἐν τῇ θαλάσσῃ ἀντιπρώρους ἐχόντων καὶ πόλεις ξυμμαχίδας πλείους, βασιλέως τε αὐτοῖς καὶ Τισσαφέρνους χρήματα παρεχόντων, σφίσι τε οὐκέτι ὄντων, εἰ μή τις πείσει βασιλέα μεταστῆναι παρὰ σφᾶς. ἐπότε δὲ μὴ φαίησιν ἐρωτώμενοι, ἐνταῦθα δὴ σαφῶς ἔλεγεν αὐτοῖς ὅτι "τοῦτο τοίνυν οὐκ ἔστιν ἡμῖν γενέσθαι, "εἰ μὴ πολιτεύσομέν τε σωφρονέστερον καὶ ἐς ὀλίγους

cum aliis, tum imprimis Alcibiadis inimicis, edocuit, unam civitati salutis spem reliquam esse, si rex Persarum ipsi conciliaretur et a Peloponnesiis ad Athenienses transiret. Hunc autem ipsis fidem non habiturum, nisi moderatius rempublicam gererent, et paucis rei publicæ administrationem committerent.

"ἑκάστους δὲ ἤδη τῇ ὁμιλίᾳ." 7. Καὶ ἐπιθειαζόντων] ἤγουν θεῖά τινα ἐπιβοωμένων. 8. Σχετλιασμὸν] ἤγουν δεινοπάθειαν. 13. Οὐκέτι ὄντων] χρημάτων δηλανότι. 17. Σωφρονέστερον] ἤγουν ταπεινότερον.

2. καὶ τελ. δὲ περιγενέσθαι Marcellus ap. Gregor. I. 1.
3. καὶ ἄλλων om. c.e.
5. εἰ om. H.
6. περὶ τῶν μυστικῶν] om. K.
ἔφευγε f.
μαρτυρομένων A.F.H.c.d.e.f.g.i.k. vulgo μαρτυρουμένων.
7. Quia addit ἐπιθειαζόντων, dubito, an præferendum sit, quod habent Codd. Reg. et Cass. μαρτυρομένων, ut sæpe apud Aristophanem et alios μαρτύρομαι, et μαρτύρομαι θεούς. Thucydides VI. 80. δείμεθα δὲ καὶ μαρτυρόμεθα ἅμα. *Testari*, et *deos hominesque testari* dicunt Latini. Duk.
9. ἕκαστον αὐτῶν παράγων A. F.H.L.O.P.Q.f.g.i.k.
τῶν om. K.
εἴ B. ceteri ἤν.
10. ἔχει A.B.F.H.K.Q.i. vulgo ἔχῃ.
11. ἐλάττους—θαλάττῃ B.
12. πλείους τε βασιλέως A.F.H.
14. πείσῃ A.F.H.K.
15. δὲ] δὴ A.B.F.H.K. om. g.
ἤδη B.
16. ἔλεγεν A.B.H.L.N.O.P.Q. f.g.i. vulgo ἐλέγετο.
οὐκ ἔστιν om. K.
ἡμῖν N.e. ceteri ὑμῖν.
17. πολιτεύσωμεν F.H.O. πολιτεύσαιμεν L.
ἐπ' e.
ἐλέγον i.

" μᾶλλον τὰς ἀρχὰς ποιήσομεν, ἵνα πιστεύῃ ἡμῖν βα-
" σιλεὺς, καὶ μὴ περὶ πολιτείας τὸ πλέον βουλεύσωμεν
" ἐν τῷ παρόντι ἢ περὶ σωτηρίας (ὕστερον γὰρ ἐξέσται
" ἡμῖν καὶ μεταθέσθαι, ἢν μή τι ἀρέσκῃ), Ἀλκιβιάδην
" τε κατάξομεν, ὃς μόνος τῶν νῦν οἷός τε τοῦτο κατεργά-
" σασθαι." * ὁ δὲ δῆμος τὸ μὲν πρῶτον ἀκούων χαλε-
πῶς ἔφερε τὸ περὶ τῆς ὀλιγαρχίας· σαφῶς δὲ διδασκό-
μενος ὑπὸ τοῦ Πεισάνδρου μὴ εἶναι ἄλλην σωτηρίαν, δεί-
σας, καὶ ἅμα ἐπελπίζων ὡς καὶ μεταβαλεῖται, ἐπέ-
δωκε. καὶ ἐψηφίσαντο πλεύσαντα τὸν Πείσανδρον καὶ
δέκα ἄνδρας μετ' αὐτοῦ πράσσειν, ὅπῃ ἂν αὐτοῖς δοκοίη
ἄριστα ἔξειν, τά τε πρὸς τὸν Τισσαφέρνην καὶ τὸν Ἀλ-
κιβιάδην. ἅμα τε διαβαλόντος καὶ Φρύνιχον τοῦ Πεισάν-
δρου, παρέλυσεν ὁ δῆμος τῆς ἀρχῆς καὶ τὸν ζυνάρχοντα
Σκιρωνίδην, ἀντέπεμψαν δὲ στρατηγοὺς ἐπὶ τὰς ναῦς

54. Tandem hac formidine populus devictus est, ut Pisandrum cum decem viris ad Tissaphernem et Alcibiadem mitteret, qui cum iis agerent et decernerent, quod ipsis videretur utilissimum civi-

6. Χαλεπῶς ἔφερετο] ἤγουν δυσανασχετῶν ἦν. σκληρὸς ἦν καὶ ἀνένδοτος.

1. τὰς ἀ. π. om. c.e.
ποιήσωμεν Q.
πιστεύσῃ ὁ βασιλεὺς Q.
2. μὴ] μὴν A.B.F.H.
πλεῖον A.B.F.H.f.
βουλεύσωμεν B. ἐβουλεύσαμεν A. F.H.f. πιστεύωμεν L.O.P.g.k.
3. γὰρ om. A.F.H. δὲ recens A.
4. μεταπείθεσθαι N. μεταπεριθέσθαι A.F.H.
ἀρέσκειν A.F.
5. τε] δὲ L.O.
κατάξαιμεν L.
τε om. K.
6. μὲν om. L.O.Q.g.
7. ἐφέρετο περὶ A.F.H.K.N.
9. ἐπελπίζων A.B.F.H.Q. ceteri ἐλπίζων.
Ἐλπίζων, ὡς καὶ μεταβαλεῖται] Cass. ἐπελπίζων. Hoc non facile defendi potest, nisi quis putet, ἐπελπίζων, ὡς καὶ μεταβαλεῖται, idem esse, ac, ἐπελπίζων τῇ μεταβολῇ· quod ita dici posset, ut illud, quod ex Heliodoro ad Luciani Dialog. I. mortuor. adnotavit Hemsterhusius: εὐμενείᾳ τῇ παρὰ τῶν κρειττόνων ἐπελπίζειν. Sed vix credo, hic ita posse accipi, et præfero consensum aliorum librorum. Duk.
ὡς μεταβαλεῖται L.
μεταβαλεῖν τε A.F.
11. πράττειν B.
ὅπει Q.
ἂν om. K.e.
δοκοίη om. L.
12. τὸν om. K.
τὸν om. B.
14. ὁ δῆμος] addidi ex A.B.F. H.L.O.P.Q.d.f.g.i.k.
15. κυρωνίδην F. κιρωνίδην B.

Διομέδοντα καὶ Λέοντα. τὸν δὲ Φρύνιχον ὁ Πείσανδρος φάσκων Ἴασον προδοῦναι καὶ Ἀμόργην διέβαλεν, οὐ νομίζων ἐπιτήδειον εἶναι τοῖς πρὸς τὸν Ἀλκιβιάδην πρασσομένοις. καὶ ὁ μὲν Πείσανδρος τάς τε ξυνωμοσίας, αἵπερ ἐτύγχανον πρότερον ἐν τῇ πόλει οὖσαι ἐπὶ δίκαις καὶ ἀρχαῖς, ἀπάσας ἐπελθὼν, καὶ παρακελευσάμενος ὅπως ξυστραφέντες καὶ κοινῇ βουλευσάμενοι καταλύσουσι τὸν δῆμον, καὶ τἆλλα παρασκευάσας ἐπὶ τοῖς παροῦσιν ὥστε μηκέτι διαμέλλεσθαι, αὐτὸς μετὰ τῶν δέκα ἀνδρῶν τὸν πλοῦν ὡς τὸν Τισσαφέρνην ποιεῖται.

tati; Phrynichum autem, quem Pisander calumniatus erat, et Scironidem ab imperio revocarent, Diomedonte et Leonte in eorum locum submissis.

55. Ὁ δὲ Λέων καὶ Διομέδων ἐν τῷ αὐτῷ χειμῶνι, ἀφιγμένοι ἤδη ἐπὶ τὰς τῶν Ἀθηναίων ναῦς, ἐπίπλουν τῇ Ῥόδῳ ἐποιήσαντο. καὶ τὰς μὲν ναῦς καταλαμβάνουσιν ἀπειλκυσμένας τῶν Πελοποννησίων, ἐς δὲ τὴν γῆν ἀποβασίν τινα ποιησάμενοι, καὶ τοὺς προσβοηθήσαντας Ῥοδίων νικήσαντες μάχῃ, ἀπεχώρησαν ἐς τὴν Χάλκην, καὶ τὸν πόλεμον ἐντεῦθεν μᾶλλον ἐκ τῆς Κῶ ἐποιοῦντο·

55. Qui cum ad Atheniensium classem pervenissent, in Rhodum incursione facta, Rhodiisque prœlio victis, ad Chalcen insulam se

4. Τάς τε ξυνωμοσίας, αἵπερ ἐτύγχανον] ἴσαι δηλονότι ἦσαν ξυνωμοσίαι κατά τε τῶν ἀρχῶν καὶ τῶν δικῶν. 6. Ἀπάσας ἐπελθὼν, καὶ παρακελευσάμενος] ὁ Πείσανδρος ἁπάσας τὰς συνωμοσίας ἐπελθὼν, παρεκελεύσατο, ὅπως πάντες οἱ ἐν αὐταῖς συστραφέντες μιᾷ γνώμῃ καταλύσωσι τὸν δῆμον. 8. Ἐπὶ τοῖς παροῦσιν] κατὰ τῆς παρούσης δημοκρατίας. 14. Ἐς δὲ τὴν γῆν] δηλονότι

2. ἴασον] ἴσον Q. ἴλασσον d.
διέβαλλεν A.
3. Ἐπιτήδειον] Confer Aristotelem Polit. 139. 26. Wass.
6. ἁπάσαις L.c.
7. καταλύσουσι F.G.H.K.g. καταλύουσι L.O.P.i.k. vulgo καταλύσωσι.
9. δώδεκα K.
11. καὶ διομέδων A.B.F.L.Q.i. ceteri καὶ ὁ διομέδων.
ἀφιγμένων i. ἐπελθόντες ἀρχηγοὶ N.
15. τινα] τε f.
προσβοηθήσαντας A.B.F.H.L.N. O.g. πρὸς βοηθήσαντας Q. προσβοηθήσαντας d.i.k. βοηθήσαντας K. vulgo βοηθήσαντας.
16. ἐχώρησαν f.
χαλκήν F.
Χάλκην] Vid. cap. 41. fin. et 60. post med. Codd. male Χάλκην servant. Hæc insula Straboni Χαλκία, Plinio V. 31. *Chalce*; sed lib. IV. 12. *Chalcia*, quomodo et Mela II. 7. Hodie, teste Nigro, *Charci*. Wass.
17. ἐκ] ἢ ἐκ Palmerius Ex. p. 57.

transtulerunt, quod commodius ibi classis Peloponnesiorum observari poset. Interea Chii, perfecta Atheniensium munitione, impetum in eam, duce Pedarito, facientes, ab Atheniensibus profligantur, et ipse Pedaritus occiditur.

εὐφυλακτότερα γὰρ αὐτοῖς ἐγίγνετο, εἴ ποι ἀπαίροι τὸ τῶν Πελοποννησίων ναυτικόν. ἦλθε δὲ ἐς τὴν Ῥόδον καὶ Ξενοφαντίδας Λάκων παρὰ Πεδαρίτου ἐκ Χίου, λέγων ὅτι τὸ τεῖχος τῶν Ἀθηναίων ἤδη ἐπιτετέλεσται, καὶ εἰ μὴ βοηθήσουσι πάσαις ταῖς ναυσὶν, ἀπολεῖται τὰ ἐν Χίῳ πράγματα. οἱ δὲ διενοοῦντο βοηθήσειν. ἐν τούτῳ δὲ ὁ Πεδάριτος αὐτός τε καὶ τὸ περὶ αὐτὸν ἐπικουρικὸν ἔχων καὶ τοὺς Χίους, παντεπρατιᾷ προσβαλὼν τῶν Ἀθηναίων τῷ περὶ τὰς ναῦς ἐρύματι, αἱρεῖ τέ τι αὐταῦ καὶ νεῶν τινῶν ἀνειλκυσμένων ἐκράτησεν· ἐπεκβοηθησάντων δὲ τῶν Ἀθηναίων, καὶ τρεψαμένων τοὺς Χίους πρώτους, νικῶσι καὶ τὸ ἄλλο τὸ περὶ τὸν Πεδάριτον, καὶ αὐτὸς ἀποθνήσκει, καὶ τῶν Χίων πολλοὶ, καὶ ὅπλα ἐλήφθη πολλά.

56. Ex quo tempore molestior fiebat obsidio, et

Μετὰ δὲ ταῦτα οἱ μὲν Χῖοι ἔκ τε γῆς καὶ θαλάσσης ἔτι μᾶλλον ἢ πρότερον ἐπολιορκοῦντο, καὶ ὁ λιμὸς αὐτόθι τὴν μέγας· οἱ δὲ περὶ τὸν Πείσανδρον Ἀθηναίων πρέσβεις,

τῆς Ῥόδου. 1. Εὐφυλακτότερα γὰρ αὐτοῖς ἐγίγνετο] παραφυλάττειν γὰρ ἐντεῦθεν μᾶλλον ἐδύναντο τὰς τῶν Πελοποννησίων ναῦς, εἴπου ἀπαίροιεν. 6. Διενοοῦντο] ἤγουν ἐμελέτων. 10. Ἐπεκβοηθησάντων δὲ] ἤγουν ἐκδραμόντων εἰς βοήθειαν ἐπὶ τῷ συμβάντι. 15. Αὐτόθι] ἐν τῇ Χίῳ.

1. εὐφυλακτότερα F.K.L.O.g. εὐφυλακτότερον d.i. vulgo εὐφυλακτοτέρα.
εἴπου A.B.F.H.
ἀπαίροι A.B.F.K.L.O.P.d.f.g. i.k. ἀπάρῃ e. ἀπήροι H.
2. δὲ καὶ ἐς d.
3. περὶ G.
4. μὴ] μὴ τάχιστα N.
5. βοηθήσωσι c.e.
6. Διενοοῦντο βοηθήσειν] Pro βοηθεῖν, vel βοηθῆσαι· futurum pro præsenti, vel aoristo. Sic cap. 74. Διανοοῦνται — τούτων πάντων τοὺς προσήκοντας λαβόντες εἴρξειν· ubi εἴρξειν pro εἶρξαι positum esse, adnotat Scholiastes. Stephanus Append. ad al. Scripta de Dial. p. 145. Dur.
δὲ om. f.
ὁ om. G.
7. αὐτός τε A.B.F.H.L.O.P.d. e.f.i.k. αὐτός τε ἐξελθὼν N. vulgo τε.
9. αἱρεῖ τέ τι A.B.F.H.K.L.N. O.Q.d.f.g.i. vulgo αἱρεῖταί τι.
11. πρώτους om. A.F.H.
12. πεδάριτον ἐπικουρικὸν καὶ N.
13. πολλὰ ἐλήφθη B. ἐλήφθησαν πολλά Q.
14. ἔκ τε γῆς καὶ θαλάσσης οἱ χῖοι ἔτι A.F.H. et, servato μὲν, Q.f. θαλάττης B.

ἀφικόμενοι ὡς τὸν Τισσαφέρνην, λόγους ποιοῦνται περὶ τῆς ὁμολογίας. Ἀλκιβιάδης δέ (οὐ γὰρ αὐτῷ πάνυ τὰ ἀπὸ Τισσαφέρνους βέβαια ἦν, φοβουμένου τοὺς Πελοποννησίους μᾶλλον, καὶ ἔτι βουλομένου, καθάπερ καὶ ὑπ' ἐκείνου ἐδιδάσκετο, τρίβειν ἀμφοτέρους) τρέπεται ἐπὶ τοιόνδε εἶδος, ὥστε τὸν Τισσαφέρνην ὡς μέγιστα αἰτοῦντα παρὰ τῶν Ἀθηναίων μὴ ξυμβῆναι. δοκεῖ δέ μοι καὶ ὁ Τισσαφέρνης τὸ αὐτὸ βουληθῆναι, αὐτὸς μὲν διὰ τὸ δέος, ὁ δὲ Ἀλκιβιάδης, ἐπειδὴ ἑώρα ἐκεῖνον καὶ ὡς οὐ ξυμβασείοντα, δοκεῖν τοῖς Ἀθηναίοις ἐβούλετο μὴ ἀδύνατος εἶναι πεῖσαι, ἀλλ' ὡς πεπεισμένῳ Τισσαφέρνει καὶ βουλομένῳ προσχωρῆσαι τοὺς Ἀθηναίους μὴ ἱκανὰ διδόναι. ἤτει γὰρ τοσαῦτα ὑπερβάλλων ὁ Ἀλκιβιάδης, λέγων αὐτὸς ὑπὲρ παρόντος Τισσαφέρνους, ὥστε τὸ τῶν Ἀθηναίων, καίπερ ἐπὶ πολὺ ὅ τι αἰτοίη ξυγχωρούντων, ὅμως αἴτιον γενέσθαι· Ἰωνίαν τε γὰρ πᾶσαν ἠξίουν δίδοσθαι, καὶ αἴθις νήσους τε τὰς ἐπικειμένας καὶ ἄλλα, οἷς οὐκ ἐναντιουμένων τῶν Ἀθηναίων, τέλος ἐν τῇ τρίτῃ ἤδη ξυνόδῳ, δείσας μὴ πάνυ φωραθῇ ἀδύνατος ὤν, ναῦς ἠξίου ἐᾶν

fames ingens. Pisander autem et legati Atheniensium postquam ad Tissaphernem venerant, Alcibiades, qui Tissaphernem adhuc Peloponnesiis addictum esse sciebat, Atheniensibus tamen apud illum valere plurimum videri volebat, adeo societatis conditiones exaggeravit, ut, quamvis incredibile quantum concessissent Athenienses, tandem, cum ille posceret, ut regi terram

6. Εἶδος] τύπον, μηχανήν. 9. Ἐπειδὴ ἑώρα ἐκεῖνον] ἐπειδὴ ἑώρα τὸν Τισσαφέρνην, καὶ εἰ τὰ μέγιστα λαμβάνοι, μηδὲ οὕτω ξυμβησόμενον πρὸς τοὺς Ἀθηναίους. Ξυμβασείοντα] ἐφιέμενον ξυμβῆναι. 12. Μὴ ἱκανὰ διδόναι] τῇ αἰτήσει δηλωότι. 14. Ὥστε τῶν Ἀθηναίων] ὥστε τοὺς Ἀθηναίους αἰτίους γενέσθαι τοῦ μὴ συμβῆναι, καίπερ διδόντας τὰ αἰτούμενα. 17. Τὰς ἐπικειμένας] δη-

1. ὡς] ἐς Q.
τὸν om. g.
2. ὑπὸ Q.
3. φοβουμένου A.B.L.O.c.g.k. ceteri φοβουμένῳ.
4. ἔτι βουλομένου A.B.F.H.K. L.O.c.f.g.k. ἐπιβουλευομένου i. vulgo ἔτι βουλομένῳ.
7. ὁ recepi ex A.B.F.H.N.
10. ἀθηναίων i.
12. τοῖς ἀθηναίοις K.L.O.P.b.d. e.g.i.k.
13. ἤτει] εἴτε A.
14. παρόντος τισσαφέρνους A.B. F.H.Q. τοῦ παρόντος τισσ. e. vulgo παρόντος τοῦ τισσ.
τὸ sumpsi a B.
16. ἠξίου Q. cum Valla et Reiskio.
17. τἄλλα A.B. τἄλλα F.H.L. N.O.P.Q.f.g.i.k.
οἷς om. Q.

ipsorum navibus prætervehi liceret, infecta re, cum indignatione Samum reverterentur.

βασιλέα ποιεῖσθαι καὶ παραπλεῖν τὴν ἑαυτοῦ γῆν, ὅπῃ ἂν καὶ ὅσαις ἂν βούληται. ἐνταῦθα δὴ οὐκέτι, ἀλλ' ἄπορα νομίσαντες οἱ Ἀθηναῖοι καὶ ὑπὸ τοῦ Ἀλκιβιάδου ἐξηπατῆσθαι, δι' ὀργῆς ἀπελθόντες κομίζονται ἐς τὴν Σάμον. 5

57. Statim Tissaphernes Caunum se confert, Peloponnesiis stipendium solvit, et

Τισσαφέρνης δὲ εὐθὺς μετὰ ταῦτα, καὶ ἐν τῷ αὐτῷ χειμῶνι, παρέρχεται ἐς τὴν Καῦνον, βουλόμενος τοὺς Πελοποννησίους πάλιν τε κομίσαι ἐς τὴν Μίλητον, καὶ ξυνθήκας ἔτι ἄλλας ποιησάμενος, ἃς ἂν δύνηται, τροφήν τε παρέχειν καὶ μὴ παντάπασιν ἐκπεπολεμῶσθαι, δεδιὼς 10 μὴ, ἢν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς τροφῆς, ἢ τοῖς Ἀθηναίοις ἀναγκασθέντες ναυμαχεῖν ἡσσηθῶσιν, ἢ κενωθεισῶν τῶν νεῶν ἄνευ ἑαυτοῦ γένηται τοῖς Ἀθηναίοις ἃ βούλονται. ἔτι δὲ ἐφοβεῖτο μάλιστα μὴ τῆς τροφῆς ζητήσει πορθήσωσι τὴν ἤπειρον. πάντων οὖν τούτων λογισμῷ καὶ 15

λουότι, τῇ Ἰωνίᾳ. 2. Ἐνταῦθα δὴ οὐκέτι] ἀπὸ κοινοῦ τὸ ξυγχωρούντων ἀκουστέον. 10. Παντάπασιν ἐκπεπολεμῆσθαι] ἤγουν εἰς τελείαν ἔχθραν ἐλθεῖν τοῖς Πελοποννησίοις. 12. Κενωθεισῶν τῶν νεῶν] ἀπολωλεκότων αὐτὰς τῶν στρατιωτῶν διὰ τὸ μὴ λαμβάνειν μισθόν.

1. βασιλέως f.
ἑαυτοῦ A.B.F.H.L.O.P.Q.f.g. k. ceteri ἑαυτῶν.
ὅπῃ A.B.F.H.c.f. vulgo ὅπου.
2. ὁπόσαις K.
ἀλλ'] τί B. τι ἀλλ' A.F.H.L. O.f.k.
6. καὶ ἐν τῷ αὐτῷ χειμῶνι] om. d. αὐτῷ om. i.
9. ἔτι om. i.
ποιησόμενος A.B.F.H.
τε] τινα L.O.
10. ἐκπεπολεμῶσθαι B. ἐκπολεμῶσθαι f. ἐκπεπολεμεῖσθαι K.k. ἐκπολεμῆσθαι O.Q. ἐκπολεμεῖσθαι L. vulgo ἐκπεπολεμῆσθαι.
Ἐκπεπολεμῆσθαι] Ἐκπολεμῶσαι hoc sensu apud Nostrum passim, et Demosthenem in Philipp. et per η aliquando scribi, narrat Harpocrat. Priore forma exstat apud Hal. Dionysium; atque sic Hesychius. Adi Pollucem I. 154. Plutarch. in Pericle: ἐκπεπολεμωμένοι πρὸς αὐτοὺς, *facti ipsis hostes*. Wass.
11. ἢν om. A.B.
Ἢν ἀπορῶσι πολλαῖς ναυσὶ τῆς τροφῆς] Idem genus loquendi est IV. 6. Τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ἐστάνιζον τροφῆς τοῖς πολλοῖς. Vide ad III. 98. Duk.
12. ἡττηθῶσιν B.d.
14. τῆς om. d.i. τῇ τῆς e.
15. πορθήσωσι A.B.F.H.N.f. vulgo πορθῶσι.
τοῦτο F.H.

προνοίᾳ, ὥσπερ ἐβούλετο ἐπανισοῦν τοὺς Ἕλληνας πρὸς ἀλλήλους, μεταπεμψάμενος οὖν τοὺς Πελοποννησίους, τροφήν τε αὐτοῖς δίδωσι καὶ σπονδὰς τρίτας τάσδε σπένδεται.

5 " ΤΡΙΤΩι καὶ δεκάτῳ ἔτει Δαρείου βασιλεύοντος, 58.
" ἐφορεύοντος δὲ Ἀλεξιππίδα ἐν Λακεδαίμονι, ξυνδῆναι tertium cum iis fœdus pangit,
" ἐγένοντο ἐν Μαιάνδρου πεδίῳ Λακεδαιμονίων καὶ τῶν
" ξυμμάχων πρὸς Τισσαφέρνην καὶ Ἱεραμένην καὶ τοὺς
" Φαρνάκου παῖδας περὶ τῶν βασιλέως πραγμάτων καὶ
10 " Λακεδαιμονίων καὶ τῶν ξυμμάχων. χώραν τὴν βασι-
" λέως, ὅση τῆς Ἀσίας ἐστὶ, βασιλέως εἶναι· καὶ περὶ
" τῆς χώρας τῆς ἑαυτοῦ βουλευέτω βασιλεὺς ὅπως βού-
" λεται. Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμμάχους μὴ
" ἴεναι ἐπὶ χώραν τὴν βασιλέως ἐπὶ κακῷ μηδενὶ, μηδὲ
15 " βασιλέα ἐπὶ τὴν Λακεδαιμονίων μηδὲ τῶν ξυμμάχων
" ἐπὶ κακῷ μηδενί. ἢν δέ τις Λακεδαιμονίων ἢ τῶν
" ξυμμάχων ἐπὶ κακῷ ἴῃ ἐπὶ τὴν βασιλέως χώραν,
" τοὺς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κωλύειν·
" καὶ ἤν τις ἐκ τῆς βασιλέως ἴῃ ἐπὶ κακῷ ἐπὶ Λακε-
20 " δαιμονίους ἢ τοὺς ξυμμάχους, βασιλεὺς κωλυέτω.
" τροφὴν δὲ ταῖς ναυσὶ ταῖς νῦν παρούσαις Τισσαφέρνην

1. πρὸς ἀλλήλους] om. K.c.e.
3. τρίτας τάσδε A.B.F.H.N. τάσδε τρίτας L.O.f.g.i.k. vulgo τρὶς τάσδε.
5. καὶ om. e.
ἔτει τῆς δαρείου F.H.
6. ἀλεξιππιάδου B.
8. ἱερομένην i. om. d.
9. καὶ τῶν λακεδαιμονίων B.c.
11. ἀσίας] αἰτίας f.
12. βουλευέτω] βασιλευέτω B.K. L.
βούληται A.
14. εἶναι K.e.
τὴν χώραν τοῦ βασιλέως f. qui mox omittit illa ἐπὶ κακῷ—λακεδαιμονίων.
15. λακεδαιμονίων χώραν μηδὲ B.F.H.L.O.P.g.
16. μηδενὶ—κακῷ om. L.f.
18. καὶ τοὺς—λακεδαιμονίους om. L.O.
τοὺς om. B.
κωλύειν—ξυμμάχους om. P.
19. ἐπὶ τοὺς λακεδαιμονίους f.
21. ταῖς om. e.

" παρέχειν κατὰ τὰ ξυγκείμενα, μέχρι ἂν αἱ νῆες αἱ
" βασιλέως ἔλθωσι· Λακεδαιμονίους δὲ καὶ τοὺς ξυμ-
" μάχους, ἐπὴν αἱ βασιλέως νῆες ἀφίκωνται, τὰς ἑαυ-
" τῶν ναῦς ἣν βούλωνται τρέφειν, ἐφ' ἑαυτοῖς εἶναι. ἢν
" δὲ παρὰ Τισσαφέρνους λαμβάνειν ἐθέλωσι τὴν τρο- 5
" φήν, Τισσαφέρνην παρέχειν, Λακεδαιμονίους δὲ καὶ
" τοὺς ξυμμάχους τελευτῶντος τοῦ πολέμου τὰ χρήματα
" Τισσαφέρνει ἀποδοῦναι, ὁπόσα ἂν λάβωσιν. ἐπὴν δὲ
" αἱ βασιλέως νῆες ἀφίκωνται, αἵ τε Λακεδαιμονίων
" νῆες καὶ αἱ τῶν ξυμμάχων καὶ αἱ βασιλέως κοινῇ τὸν 10
" πόλεμον πολεμούντων, καθ' ὅ τι ἂν Τισσαφέρνει δοκῇ
" καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις. ἢν δὲ κα-
" ταλύειν βούλωνται τοῖς Ἀθηναίοις, ἐν ὁμοίῳ κατα-
" λύεσθαι."

59. ex quo Phœnissas naves

Αἱ μὲν σπονδαὶ τοιαῦται ἐγένοντο. καὶ μετὰ ταύτας 15
παρεσκευάζετο Τισσαφέρνης τάς τε Φοινίσσας ναῦς ἄξων,

8. Λάβωσιν] εἰς τροφὴν δηλονότι τῶν νεῶν καὶ εἰς ἄλλην δαπάνην. 13. Πρὸς Ἀθηναίους] γράφεται, τοῖς Ἀθηναίοις. ἐὰν ἐθέλωσι (φησί) πρὸς Ἀθηναίους διαλλάττεσθαι, ἀμφότεροι διαλλαττέσθωσαν.

1. κατὰ τὰ ξυγκείμενα] κατὰ τάξιν κείμενα Q.
2. λακεδαιμόνιοι A.
4. τρέφειν om. L.O.
5. ἐθέλωσι λαμβάνειν L.O.d.i.k.
τὴν om. g.
6. τισσαφέρνη F.H.
7. ξυμμάχους κωλύειν τελευτῶντος A.B.
8. Τισσαφέρνη H.
δὲ om. B.
10. Τὸν πόλεμον πολεμούντων] Τὸν πόλεμον ποιούντων Gr. mendose. Noster infra cap. 67. ἀρχὴν ἄρχειν. Sic Attici passim. Wass. Cap. 18. Καὶ τὸν πόλεμον τὸν πρὸς Ἀθηναίους κοινῇ πολεμούντων. Adde ad I. 112. Duk.
11. πολεμούντων] ποιούντων K.
13. τοῖς ἀθηναίοις A.F.H. πρὸς τοῖς ἀθηναίοις i.k. πρὸς τοὺς ἀθηναίους L.O.P. vulgo πρὸς ἀθηναίους.
Πρὸς Ἀθηναίους] Τοῖς Ἀθηναίοις Marg. et Scholiastes, haud ineleganter. Wass. Thucydides V. 47. Καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν πόλιν μηδεμιᾷ τῶν πόλεων. Καταλύειν sine casu nominis est etiam V. 17. et 23. Duk.
ὁμοιώματι f.
15. τοιαῦται B.L. vulgo αὗται.
ταύτας B. (Conf. c. 17.) ceteri ταῦτα.
16. ἄγων f. αὔξων F.

ὥσπερ εἴρητο, καὶ τἆλλα, ὅσαπερ ὑπέσχετο· καὶ ἐβούλετο παρασκευαζόμενος γοῦν δῆλος εἶναι.

adducturus videri volebat.

Βοιωτοὶ δὲ τελευτῶντος ἤδη τοῦ χειμῶνος Ὠρωπὸν εἷλον προδοσίᾳ, Ἀθηναίων ἐμφρουρούντων. ξυνέπραξαν δὲ Ἐρετριέων τε ἄνδρες καὶ αὐτῶν Ὠρωπίων, ἐπιβουλεύοντες ἀπόστασιν τῆς Εὐβοίας· ἐπὶ γὰρ τῇ Ἐρετρίᾳ τὸ χωρίον ὂν ἀδύνατα ἦν, Ἀθηναίων ἐχόντων, μὴ οὐ μεγάλα βλάπτειν καὶ Ἐρέτριαν καὶ τὴν ἄλλην Εὔβοιαν. ἔχοντες οὖν ἤδη τὸν Ὠρωπὸν ἀφικνοῦνται ἐς Ῥόδον οἱ Ἐρετριῆς, ἐπικαλούμενοι ἐς τὴν Εὔβοιαν τοὺς Πελοποννησίους. οἱ δὲ πρὸς τὴν τῆς Χίου κακουμένης βοήθειαν μᾶλλον ὥρμηντο, καὶ ἄραντες πάσαις ταῖς ναυσὶν ἐκ τῆς Ῥόδου ἔπλεον. καὶ γενόμενοι περὶ τὸ Τριόπιον καθορῶσι τὰς τῶν Ἀθηναίων ναῦς πελαγίας ἀπὸ τῆς Χάλκης πλεούσας· καὶ ὡς οὐδέτεροι ἀλλήλοις ἐπέπλεον, ἀφικνοῦνται οἱ μὲν ἐς τὴν Σάμον, οἱ δὲ ἐς τὴν Μίλητον, καὶ ἑώρων οὐκέτι ἄνευ ναυμαχίας οἷόν τε εἶναι ἐς τὴν Χίον βοηθῆσαι. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ εἰκοστὸν ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

60. Sub finem hiemis Bœoti Oropum proditione capiunt, Eretriensium ope, qui Eubœas defectionem parabant, et Rhodum profecti, Peloponnesios in auxilium vocabant. Hi autem potius habebant, Chiis, obsidione pressis, succurrere, quod sine pugna navali per Atheniensium classem fieri non posse videbant. Finis vicesimi anni belli Pelop.

Τοῦ δ' ἐπιγιγνομένου θέρους, ἅμα τῷ ἦρι εὐθὺς ἀρχομένῳ, Δερκυλίδας τε ἀνὴρ Σπαρτιάτης, στρατιὰν ἔχων

61. Ineunte vere Dercy-

1. Ὅσπερ εἴρητο] ἐν ταῖς σπονδαῖς δηλονότι. 5. Ἐπιβουλεύοντες ἀπόστασιν τῆς Εὐβοίας] λαθραίως ποιοῦντες τὸ ἀποστῆναι τὴν Εὔβοιαν ἀπὸ τῶν Ἀθηναίων. 6. Ἐπὶ γὰρ τῇ Ἐρετρίᾳ τὸ χωρίον ὂν] ἀντὶ τοῦ ἐπικείμενον γὰρ τῇ Ἐρετρίᾳ. 9. Ἐπικαλούμενοι] ἤγουν ἐπὶ βοήθειαν καλοῦν-

1. εἴρηται f.
2. οὖν A.F.H.L.O.f.g.k. om. Q.
εἶναι] ἦν P.g.
6. ἀπόστασιν τοῖς ἀθηναίοις f.
7. ὢν om. H.Q. ὃ A.F.
ἀδύνατον Q.
μέγα d.e.i.k.
βλέπειν A.F.
8. ἐρετρίειαν A.F.H.f.
ἔχοντες—εὔβοιαν om. K.
9. τὸν om. Q.
11. ὥρμητο μᾶλλον Q.
13. τὸ om. B.
14. χαλκῆς K. χαλκίας A.Q.
καὶ οὐδέτερα c.
18. οὗτος ἐτελεύτα d.i.
τῷ πολέμῳ ἐτελεύτα B.g.
20. τῷδε om. e.
20. ἐπιγενομένου K.
21. δυσκυλλίδας c.

lidas Spartiates inde a Mileto in Hellespontum mittitur cum exercitu pedestri itinere; Chii vero prœlio navali certant non infeliciter cum Atheniensibus.

οὐ πολλὴν, παρεπέμφθη πεζῇ ἐφ' Ἑλλήσποντον Ἄβυδον ἀποστήσων (εἰσὶ δὲ Μιλησίων ἄποικοι), καὶ οἱ Χῖοι, ἐν ὅσῳ αὐτοῖς ὁ Ἀστύοχος ἠπόρει ὅπως βοηθήσοι, ναυμαχῆσαι πιεζόμενοι τῇ πολιορκίᾳ ἠναγκάσθησαν. ἔτυχον δὲ ἔτι ἐν Ῥόδῳ ὄντος Ἀστυόχου ἐκ τῆς Μιλήτου Λέοντά τε ἄνδρα Σπαρτιάτην, ὃς Ἀντισθένει ἐπιβάτης ξυνεξῆλθε, τοῦτον κεκομισμένοι μετὰ τὸν Πεδαρίτου θάνατον ἄρχοντα, καὶ ναῦς δώδεκα αἳ ἔτυχον φύλακες Μιλήτου οὖσαι, ὧν ἦσαν Θούριαι πέντε καὶ Συρακόσιαι τέσσαρες καὶ μία Ἀναιῖτις καὶ μία Μιλησία καὶ Λέοντος μία. ἐπεξελθόντων δὲ τῶν Χίων πανδημεὶ καὶ καταλαβόντων τι ἐρυμνὸν χωρίον, καὶ τῶν νεῶν αὐτοῖς ἅμα ἓξ καὶ τριάκοντα ἐπὶ τὰς τῶν Ἀθηναίων δύο καὶ τριάκοντα ἀναγα-

τες. 1. Πεζῇ] ἤγουν διὰ ξηρᾶς. 2. Ἀποστήσων] τῶν Ἀθηναίων δηλωότι. 6. Ἐπιβάτης ξυνεξῆλθε] οὐ τριήραρχος, οὐδ' ἄλλην ἀρχὴν ἔχων.

1. παρεπέμφη K.g. περ ἐπέμφθη A.F. περεπέμφθη H. περιεπέμφθη N.
ἐς A.F.Q.f.g.k.
ἑλλησπόντου B.
Ἄβυδον] Condita urbs, secundum Thucyd. Steph. Athenæum, a Milesiis; juxta Strabonem, a Cyzicenis; ab Æolibus juxta Marcianum Heracleotam. Gentile Ἀβυδηνὸς Aristot. Œconom. 251. et Hermippus in militibus. Fortunam ejus variam petas a Polybio XVI. Livio XXXI. 17. Archilocho et Callino apud Athenæum p. 524. Appiano p. 99. 101. Xenophonte p. 535. Polyæno, II. 24. Quomodo eam oppugnabat Phocas, narrat inter alios Cedrenus p. 699. Wass.
3. βοηθήσει c.
4. δέτι B. ἔτι om. i.
6. οἱ N.
ἀντισθένει] ἀντὶ στρατηγοῦ K. N.e.g.
Ἀντισθένει] Quidam libri ἀντὶ στρατηγοῦ. Sed, Ἀντισθένει retinendum, suadet Xenophon Hist. Gr. p. 487. a. Wass. Et magis etiam ea, quæ scribit Thucydides supra cap. 29. Duk.
ξυνῆλθε A.B.F.H.L.N.O.P.f.k.
7. τοῦτον recepi ex A.B.F.H. L.N.O.P.c.i.
κεκισμημένοι A.i.
8. δέκα B.
9. θούριοι Q.f.
συρακόσιοι A.f.
τέτταρες B.
μία] κριους e.
10. ἀναιῖτης G.K.
12. ἔρημων i.
τῶν om. i.
ἅμα ἓω ἓξ L.O.Q.g.
13. τῶν om. Q.
ἀναγαγομένων A.B.F.H. vulgo ἀναγομένων.

γομένων, ἐναυμάχησαν· καὶ καρτερᾶς γενομένης ναυμαχίας, οὐκ ἔλασσον ἔχοντες ἐν τῷ ἔργῳ οἱ Χῖοι καὶ οἱ ξύμμαχοι (ἤδη γὰρ καὶ ὀψὲ ἦν) ἀνεχώρησαν ἐς τὴν πόλιν. * Μετὰ δὲ τοῦτο εὐθὺς τοῦ Δερκυλίδου πεζῇ ἐκ τῆς Μιλήτου παρεξελθόντος, Ἄβυδος ἐν τῷ Ἑλλησπόντῳ ἀφίσταται πρὸς Δερκυλίδαν καὶ Φαρνάβαζον, καὶ Λάμψακος δυοῖν ἡμέραιν ὕστερον. Στρομβιχίδης δ' ἐκ τῆς Χίου, πυθόμενος, κατὰ τάχος βοηθήσας ναυσὶν Ἀθηναίων τέσσαρσι καὶ εἴκοσιν, ὧν καὶ στρατιώτιδες ἦσαν ὁπλίτας ἄγουσαι, ἐπεξελθόντων τῶν Λαμψακηνῶν μάχῃ κρατήσας, καὶ αὐτοβοεὶ Λάμψακον ἀτείχιστον οὖσαν ἑλών, καὶ σκεύη μὲν καὶ ἀνδράποδα ἁρπαγὴν ποιησάμενος, τοὺς δὲ ἐλευθέρους πάλιν κατοικίσας, ἐπ' Ἄβυδον ἦλθε. καὶ ὡς οὔτε προσεχώρουν οὔτε προσβαλὼν ἐδύνατο ἑλεῖν, ἐς τὸ ἀντιπέρας τῆς Ἀβύδου ἀποπλεύσας, Σηστὸν πόλιν τῆς Χερσονήσου, ἥν ποτε Μῆδοι εἶχον, καθίσταται φρούριον καὶ φυλακὴν τοῦ παντὸς Ἑλλησπόντου.

62. Abydus deficit ad Dercylidam, et biduo post Lampsacus quoque; quam tamen Strombichides, Chio ad præsidium harum civitatum approperans, cum prœlio vicisset, mox recepit; Abydum autem cum capere non posset, Sestum transiit, idque oppidum totius Hellespontiprœsidium instituit.

Ἐν τούτῳ δὲ οἱ Χῖοί τε θαλασσοκράτορες μᾶλλον ἐγένοντο, καὶ οἱ ἐν τῇ Μιλήτῳ καὶ ὁ Ἀστύοχος, πυθόμενος τὰ περὶ τὴν ναυμαχίαν καὶ τὸν Στρομβιχίδην καὶ

63. Inter hæc Astyochus, postquam

3. Ἤδη γὰρ καὶ ὀψὲ ἦν] ἤγουν ἑσπέρας ἤδη καταλαβούσης. 20. Τὴν ναυμαχίαν] τὴν γενομένην δηλονότι περὶ τὴν Χίον.

1. γενομένης τῆς ναυμαχίας i.
2. ἔλαττον B.
σχόντες B. om. i. qui mox a correctore ξύμμαχοι εἶχον.
ἔργῳ χῖοι B.
3. καὶ om. i.
ἐπὶ O.
4. δελφυλίδαν A.F.
7. στρομμιχίδης B.
9. τέτταρσι B.
10. τῶν om. Q.
13. κατοικήσας F.H.K.f.
ἐς e.
14. ὡς om. L.O.P.
προσβάλλων B.
15. ἀντιπέραν L,O.
ἀντιπλεύσας A.F.H.
16. τότε A.F.H.K.L.N.O,P. Q.f.g.k.
μῆδοι A.B.F.H.L.O.Q.f.g.k. ceteri οἱ μῆδοι.
καθίσταται P.
18. ἐν τούτῳ δὲ om. B.
τε om. e.
20. τῆς ναυμαχίας B.c.e.

Chiorum naves secum conjunxisset, jam fretus viribus, adversus Samum cum tota classe profectus est. Sed abnuentibus prœlium Atheniensibus, quod propter sublatam illo tempore democratiam sibi invicem diffiderent, rursus Miletum abiit. Pisander e-

τὰς ναῦς ἀπεληλυθότας, ἐθάρσησε. καὶ παραπλεύσας δυοῖν νεοῖν Ἀστύοχος ἐς Χίον κομίζει αὐτόθεν τὰς ναῦς, καὶ ζυμπάσαις ἤδη ἐπίπλουν ποιεῖται ἐπὶ τὴν Σάμον· καὶ ὡς αὐτῷ διὰ τὸ ἀλλήλοις ὑπόπτως ἔχειν οὐκ ἀντανήγοντο, ἀπέπλευσε πάλιν ἐς τὴν Μίλητον. ὑπὸ γὰρ τοῦτον τὸν χρόνον, καὶ ἔτι πρότερον, ἡ ἐν ταῖς Ἀθήναις δημοκρατία κατελέλυτο. ἐπειδὴ γὰρ οἱ περὶ τὸν Πείσανδρον πρέσβεις παρὰ τοῦ Τισσαφέρνους ἐς τὴν Σάμον ἦλθον, τά τε ἐν αὐτῷ τῷ στρατεύματι ἔτι βεβαιότερον κατέλαβον, καὶ αὐτῶν τῶν Σαμίων προὐτρέψαντο τοὺς δυνατοὺς ὥστε πειρᾶσθαι μετὰ σφῶν ὀλιγαρχηθῆναι, καίπερ ἐπαναστάντας αὐτοὺς ἀλλήλοις ἵνα μὴ ὀλιγαρχῶνται.

1. Ἐθάρσησεν] ἤγουν ἀγαθὰς ἔσχεν ἐλπίδας. 12. Καίπερ ἐπαναστάντας αὐ-

1. ἀπεληλυθότας e. ἀπεληλυθυίας d.i.
ἐθαρρησε B.
2. νηοῖν B.
ὁ ἀστύοχος i.
3. τῆς σάμου c.e.
4. οὐκατανήγοντο A.
5. γὰρ] δὲ Q.
7. κατελέλυτο A.B.F.H.L.O. P.f.g.k. vulgo κατελύετο.
9. Τὰ τε ἐν αὐτῷ τῷ στρατεύματι ἔτι βεβαιότερον κατέλαβον] Valla vertit: *ad suum magis arbitrium transtulerunt:* Stephanus, cujus interpretationem, verbis nonnihil mutatis, etiam Acacius expressit: *res in exercitu firmiores*, vel, *firmius stabilitas offendit.* Mihi Thucydides, si hoc voluisset dicere, potius videtur scripturus fuisse βεβαιότερα, vel βεβαιότερον ἔχοντα. Itaque, Portum melius percepisse sententiam, arbitror, et Thucydidem hoc velle; Pisandrum et ceteros legatos Atheniensium, a Tissapherne Samum reversos, factionem apud exercitum confirmasse, et conspiratos arctioribus quibusdam vinculis inter se adstrinxisse. Nam καταλαμβάνειν etiam est *adstringere, obligare*, ut in iis, quæ e Thucydide I. 9. et IV. 86. profert Stephanus in Thes. ὅρκοις καταλαμβάνειν et e Plutarcho, καταλαβόντες ἰμᾶσι, quod est in Vita Numæ p. 122. Ed. Steph. Sic Herodotus IX. 121. Πίστει τε καταλαβόντες καὶ ὁρκίοισι. et Lucianus in Prometheo, p. 174. Διὸς καὶ τὴν ἑτέραν, κατειλήφθω καὶ μάλα καὶ αὐτή. Et Thucydides V. 21. Ἐπειδὴ εὗρε κατειλημμένας τὰς σπονδάς, id est, ἰσχυράς, ut Scholiastes. Duk.
ἔτι om. K.c.e.
10. προὐτρέψαντο B. προυτρεψάντων F.H. προτρέψαντος K.e. προτρέψαντες c. vulgo προτρεψάντων.
δυνατωτάτους B.
11. ὅστε] ὥστερ B.
12. ἐπαναστάντες F.H.L.O.f. g.i.k. ἐπαναστὰς K.
αὐτοὶ L.O.f.g.i.k. αὐτοῖς A.F.H.

καὶ ἐν σφίσιν αὐτοῖς ἅμα οἱ ἐν τῇ Σάμῳ τῶν Ἀθηναίων κοινολογούμενοι ἐσκέψαντο Ἀλκιβιάδην μὲν, ἐπειδήπερ οὐ βούλεται, ἐᾶν (καὶ γὰρ οὐκ ἐπιτήδειον αὐτὸν εἶναι ἐς ὀλιγαρχίαν ἐλθεῖν), αὐτοὺς δὲ ἐπὶ σφῶν αὐτῶν, ὡς ἤδη καὶ κινδυνεύοντας, ὁρᾶν ὅτῳ τρόπῳ μὴ ἀνεθήσεται τὰ πράγματα, καὶ τὰ τοῦ πολέμου ἅμα ἀντέχειν, καὶ ἐσφέρειν αὐτοὺς ἐκ τῶν ἰδίων οἴκων προθύμως χρήματα καὶ ἤν τι ἄλλο δέῃ, ὡς οὐκέτι ἄλλοις ἢ σφίσιν αὐτοῖς ταλαιπωροῦντας. * παρακελευσάμενοι οὖν τοιαῦτα τὸν μὲν Πείσανδρον εὐθὺς τότε καὶ τῶν πρέσβεων τοὺς ἡμίσεις ἀπέστελλον ἐπ' οἴκου, πράξοντας τἀκεῖ, καὶ εἴρητο αὐτοῖς, τῶν ὑπηκόων πόλεων αἷς ἂν προσίσχωσιν, ὀλιγαρχίαν καθιστάναι· τοὺς δ' ἡμίσεις ἐς τἄλλα τὰ ὑπήκοα χωρία ἄλλους ἄλλῃ διέπεμπον. καὶ Διοτρέφη, ὄντα περὶ Χίον, ἠρημένον δὲ ἐς τὰ ἐπὶ Θρᾴκης ἄρχειν, ἀπέ-

nim et ceteri conjurati etiam absque Alcibiade oligarchiam constituere decreverant.

64. Pisandro igitur cum dimidio numero legatorum Athenas misso, ceteros circa civitates subjectas dimiserunt, ut ubique oli-

τοὺς] καίπερ ἐπαναστάντων αὐτοῖς τοῖς ὀλιγαρχικοῖς τῶν δημοκρατούντων ὑπὲρ τοῦ μὴ ὀλιγαρχεῖσθαι. 11. Πράξοντας τἀκεῖ] ἤγουν καταστήσοντας τὰ ἐν Ἀθήναις. Εἴρητο] προσετέτακτο. 12. Αἷς ἀνίσχωσιν] ἀντὶ τοῦ προσορμίσωνται. 13. Καθιστάναι] ἤγουν νομοθετεῖν.

1. ἐν om. g.
2. εἴπερ K.
4. αὐτὸν] αὐτῶν A.F.
ὡς om. P. καὶ om. i.
5. ἀναθήσεται g.
6. καὶ τοῦ K.
10. ἡμίσεας F.L.O.P.
Ἡμίσεας] Thomas dicit, hoc nomen in accusativo plurali tam masc. quam fem. gen. utraque forma efferri, et ex hoc loco adfert τῶν πρέσβεων τοὺς ἡμίσεις, e cap. 8. τὰς ἡμίσεας τῶν νεῶν. Addit tamen: κάλλιον δὲ τὸ ἀσυναίρετον. Sed rursus Thucydides IV. 42. τοὺς ἡμίσεις αὐτῶν. Duk.
11. ἀπέστελλον c.
πράξαντας A.Q.f.
12. ἴσχωσιν K.b.c.e.f.i. προσχῶσιν B. προσίσχωσιν A.H. πρόσχωσιν recens γρ. A.
Προσίσχωσιν] Non est causa, cur ab hac lectione, quam omnes fere MSS. exhibent, recedatur. Thucydides IV. 30. Διὰ τὴν στενοχωρίαν τοῖς ἰσχάτοις τῆς νήσου προσίσχοντας. Et sic etiam alii. Duk.
13. ἡμίσεας L.O.P.
ἐς τἄλλα] Fortasse leg. ἔς τ' ἄλλα, hypostigme posita post διέπεμπον.
τὰ om. P.
14. χωρία καὶ ἄλλους Q.
15. εἰρημένον A.F.H.K.i.

garchiam constituerent. Quod postquam etiam in Thaso insula a Diotrephe factum erat, post ejus discessum Thasii in libertatem se vindicarunt.

στελλον ἐπὶ τὴν ἀρχήν. καὶ ἀφικόμενος ἐς τὴν Θάσον τὸν δῆμον κατέλυσε. καὶ ἀπελθάντος αὐτοῦ οἱ Θάσιοι δευτέρῳ μηνὶ μάλιστα τὴν πόλιν ἐτείχιζον, ὡς τῆς μὲν μετ' Ἀθηναίων ἀριστοκρατίας οὐδὲν ἔτι προσδεόμενοι, τὴν δὲ ἀπὸ Λακεδαιμονίων ἐλευθερίαν ὁσημέραι προσδεχό- 5 μενοι. καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις, καὶ αὕτη μετὰ τῶν ἐν τῇ πόλει ἐπιτηδείων κατὰ κράτος ἔπρασσε ναῦς τε κομίσαι καὶ τὴν Θάσον ἀποστῆσαι. ξυνέβη οὖν αὐτοῖς μάλιστα ἃ ἐβούλοντο, τὴν πόλιν τε ἀκινδύνως ὀρθοῦσθαι, 10 καὶ τὸν ἐναντιωσόμενον δῆμον κατελελύσθαι. περὶ μὲν οὖν τὴν Θάσον τἀναντία τοῖς τὴν ὀλιγαρχίαν καθιστᾶσι τῶν Ἀθηναίων ἐγένετο, δοκεῖν δέ μοι, καὶ ἐν ἄλλοις πολλοῖς τῶν ὑπηκόων· σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις

6. Καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν] καὶ γὰρ φυγάδες αὐτῶν ἦσαν παρὰ Πελοποννησίοις, πεφευγότες ὑπὸ Ἀθηναίων. 7. Καὶ αὕτη] ἤγουν αὐτοὶ οἱ φυγάδες. 8. Ναῦς τε κομίσαι] εἰς τὴν Λακεδαίμονα δηλονότι. 14. Σωφροσύνην γὰρ λαβοῦσαι αἱ πόλεις] εὐβουλότεραι γὰρ γενόμεναι αἱ πόλεις ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τῆς ὑπὸ τῶν Ἀθηναίων ὑποβλεν εὐνομίας οὐδὲν φροντίσαντες. τοῦτο γάρ ἐστι τὸ προτιμήσαντες. Ἄλλως. οὐ προτιμή-

1. Θάσσον H. θᾶσσον F.
Θάσον] Cass. Θάσσον. Sic etiam Stephanus, Plinius et Polybius, ut adnotat Cellarius. Sed Holstenius ad Stephanum auctoritate nummorum veterum, ubique Θάσος legendum, contendit. Duk.
2. ἐπελθόντος O.
3. μάλιστα γὰρ τὴν i.
4. μετ' om. f.
προσδεχόμενοι f.
5. ἀπὸ τῶν λακεδαιμονίων g.
ὁσημέραι A.F.Q. ὁσήμεραι H. N. ὅση ἡμέραι B. vulgo ὅσαι ἡμέραι.
6. Καὶ γὰρ καὶ—Πελοποννησίοις] T. Magister in φυγή. Cl. ὁσημέραι, supra: atque ita legit Th. Magister: sed nec alteram scripturam improbat. Wass. Thomas ita: ὅσαι ἡμέραι, καὶ ὁσημέραι λέγε. ὅσαι δὲ ὅραι μόνον. Duk.
καὶ post γὰρ om. L.O.P.Q.i.k.
φυγή τε ἦν ἔξω αὐτῶν B.
7. καὶ] κ' c.
αὐτὴ B.K.c.
8. ἔπραττε B.
τάς τε ναῦς Q.
9. ἀποστῆναι K.
13. δοκεῖν B.
14. σωφροσύνης c.
Σωφροσύνην—προτιμήσαντες] D. Hal. p. 135. ubi τῆς ἀπὸ τῶν A. ὑπεύθυνον εὐνομίας, minus recte: αὐτονομίαν, quomodo alibi noster.

καὶ ἄδειαν τῶν πρασσομένων, ἐχώρησαν ἐπὶ τὴν ἄντικρυς ἐλευθερίαν, τὴν ὑπὸ τῶν Ἀθηναίων ὕπουλον αὐτονομίαν οὐ προτιμήσαντες. * οἱ δὲ ἀμφὶ τὸν Πείσανδρον παραπλέοντές τε, ὥσπερ ἐδέδοκτο, τοὺς δήμους ἐν ταῖς πόλεσι κατέλυον, καὶ ἅμα ἔστιν ἀφ' ὧν χωρίων καὶ ὁπλίτας ἔχοντες σφίσιν αὐτοῖς ξυμμάχους ἦλθον ἐς τὰς Ἀθήνας. καὶ καταλαμβάνουσι τὰ πλεῖστα τοῖς ἑταίροις προειργασμένα. καὶ γὰρ Ἀνδροκλέα τέ τινα, τοῦ δήμου μάλιστα προεστῶτα, ξυστάντες τινὲς τῶν νεωτέρων κρύφα ἀποκτείνουσιν, ὅσπερ καὶ τὸν Ἀλκιβιάδην οὐχ ἥκιστα ἐζήλασε, καὶ αὐτὸν κατ' ἀμφότερα, τῆς τε δημαγωγίας ἕνεκα, καὶ οἰόμενοι τῷ Ἀλκιβιάδῃ ὡς κατιόντι καὶ τὸν Τισσαφέρνην φίλον ποιήσοντι χαριεῖσθαι, μᾶλλόν τι διέφθειραν· καὶ ἄλλους τινὰς ἀνεπιτηδείους τῷ αὐτῷ τρόπῳ κρύφα ἀνάλωσαν. λόγος τε ἐκ τοῦ φανεροῦ προείργαστο αὐτοῖς, ὡς οὔτε μισθοφορητέον εἴη ἄλλους ἢ τοὺς στρατευ-

65. Pisander, ubique in transitu democratia e civitatibus sublata, Athenas venit, ubi Androclem quendam demagogum et alios nonnullos ab iis, qui a parte ejus stabant, occisos, et cetera bene præparata sentit. Jamque propalam ex consulto dixerant, mercedem posthac nullam solutum iri, nisi militibus, neque pluribus quam quinque millibus civium, iisque locu-

σαντες, οὐ προτιμωτέραν σχόντες. 14. Ἀνεπιτηδείους] τῇ ὀλιγαρχίᾳ δηλονότι. 15. Λόγος τε ἐκ τοῦ φανεροῦ προείργαστο αὐτοῖς] λόγος τε ἐν τῷ φανερῷ (φησὶν) ἐκ παρασκευῆς ἐλέγετο.

Demosth. Philip. I. αὐτονομούμενα καὶ ἐλεύθερα. Noster VIII. 91. ναῦς καὶ τὰ τείχη ἔχοντες ΑΥΤΟΝΟΜΕΙΣΘΑΙ. Habes illud alterum apud Isocr. et Aristotelem, et huic etiam loco melius convenit. Confer II. 37. VIII. 97. VI. 89. Wass.

1. πραττομένων B.
ἀντικρὺς K.
2. τῆς ὑπὸ τῶν B.e. om. K.
ὕπουλον om. f.
αὐτονομίαν A.B.F.H.L.N.O.P. d.e.g.i.k. αὐτοευνομίαν f. ceteri εὐνομίαν.
3. προτιμήσωντες k.
4. τε om. P.
δέδεκτο i.
6. ἔχωντας A.F.
αὐτοὺς A.F.c.d.e.i.k.
ἦκον B.
7. ἑτέροις b.
10. ὅσπερ A.B.F.H.g.k. ὅπερ K. vulgo ὥσπερ.
11. ἀμφοτέρους c.
13. τισσαφέρνη F.H.K.e.k.
τι om. d.
15. ἠνάλωσαν i.
προσείργαστο A.B.F.H.
16. Μισθοφορητέον] Acacius recte censet, hoc pertinere ad mercedem, quam Magistratus, Senatus, judices, et populus Athenis e judiciis, concionibus, et aliis, quæ publice agebantur, ferebant: de quibus Aristoteles VI. Politicor. 2. et Sigonius II. de Republ. Athen. 3. Infra cap. 6.

pletioribus, rei publicæ gerendæ jus fore.

66. Populus quidem etiam tum, et senatus sorte lectus congregabatur, sed in utroque conjurati regnabant, nemine contra dicente, ac si quis forte contra diceret, libertate morte punita. Neque

ομένους, οὔτε μεθεκτέον τῶν πραγμάτων πλείσιν ἢ πεντακισχιλίοις, καὶ τούτοις οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν. * ἦν δὲ ταῦτα εὐπρεπὲς πρὸς τοὺς πλείους, ἐπεὶ ἔζειν γε τὴν πόλιν, οἵπερ καὶ μεθίσταισαν, ἔμελλον. δῆμος μέντοι ὅμως ἔτι καὶ βουλὴ ἡ ἀπὸ τοῦ κυάμου ξυνελέγετο· ἐβούλευον δὲ οὐδὲν ὅ τι μὴ τοῖς ξυνεστῶσι δοκοίη, ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν, καὶ τὰ ῥηθησόμενα πρότερον αὐτοῖς προὐσκέπτετο. ἀντέλεγέ τε οὐδεὶς ἔτι τῶν ἄλλων, δεδιὼς καὶ ὁρῶν πολὺ τὸ ξυνεστηκός· εἰ δέ τις καὶ ἀντείποι, εὐθὺς ἐκ τρόπου τινὸς ἐπιτηδείου τεθνήκει, καὶ τῶν δρασάντων οὔτε ζήτησις οὔτ' εἰ ὑποπτεύοιντο δικαίωσις ἐγί-

4. Εὐπρεπὲς πρὸς τοὺς πλείους] πιθανὸν πρὸς τοὺς πολλούς. 7. Ἀλλὰ καὶ οἱ λέγοντες ἐκ τούτων ἦσαν] ἤγουν οἱ δημηγορεῦντες ἦσαν ἐκ τῶν καταλυσάντων τὴν δημοκρατίαν. 11. Ἐπιτηδείου] εὐπροσώπου, ἐσκεμμένου. 12. Δι-

Μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου, μήτε μισθοφορεῖν. et cap. 69. de Senatoribus ἀπὸ τοῦ κυάμου· καὶ εἶπον αὐτοῖς ἐξιέναι λαβοῦσι τὸν μισθόν. Duk.

2. τοῖς τε] τοῖς K.e. καὶ τοῖς Q.

3. καὶ σώμασιν K.

4. ἐπρεπὲς K.

ἐξῆν A.F.

5. καὶ om. L.O.P.g.

μεθίσταισαν B. ceteri καθιστάναι.

ἔτι] ἔστι A.

6. ἡ recepi ex A.B.F.H.L.N. O.f.k.

Βουλὴ ἀπὸ τοῦ κυάμου] Vide Gataker. de Usu sortium p. 6. Huds. Infra cap. 69. Ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς. Non solum hic Senatus, sed etiam alii Magistratus, sorte legebantur. Vid. Meursium de Archontib. Athen. I. 9. Petitum in Leges Attic. p. 219. et Menagium ad Diogen. Laërt. VIII. 34. Add. Xenophontem I. Ἀπομνημον. p. 712. Aristophanem Avib. v. 1023. et Scholiasten Demosthenis ad Timocrateam p. 470. Duk.

ἐβουλεύοντο A.B.F.H.

7. οὐδὲν om. H. μηδὲν K.i.

9. ἔτι] ἐπὶ i.

10. καὶ om. K.

11. τεθνήκει B. ceteri ἐτεθνήκει.

12. ὑποπτεύοιντο A.B.F.H.L.O. d.e.g.i.k. ceteri ὑπωπτεύοντο.

Δικαίωσις] Agnoscit Suidas et Harpocrat. et cum Schol. exponit: unde apud Hesych. δικαιῶν, μαστιγοῦν. ita Dio Cassius apud Etymologum. Vocem damnat ut poëticam, neque ab ea se abstinuit Dion. Halicarn. habes apud Plutarch. de def. Orac. δικαιώσεις ὑπὸ θεοῦ. adde Ælian. V. H. 14, 7. denique ἐδικαιώθησαν, interprete in VII. Verr. Cicerone, *supplicio affecti sunt.* Wass. Confer Valesium ad Harpocrationem, et, quem ibi

γνετο, ἀλλ' ἡσυχίαν εἶχεν ὁ δῆμος καὶ κατάπληξιν τοιαύτην, ὥστε κέρδος ὁ μὴ πάσχων τι βίαιον, εἰ καὶ σιγῴη, ἐνόμιζε. καὶ τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγούμενοι εἶναι ἢ ὅσον ἐτύγχανεν ὄν, ἠσσῶντο ταῖς γνώμαις, καὶ ἐξευρεῖν αὐτὸ ἀδύνατοι ὄντες διὰ τὸ μέγεθος τῆς πόλεως καὶ διὰ τὴν ἀλλήλων ἀγνωσίαν οὐκ εἶχον. κατὰ δὲ τὸ αὐτὸ τοῦτο καὶ προσολοφύρασθαί τινι ἀγανακτήσαντα, ὥστε ἀμύνασθαι ἐπιβουλεύσαντα, ἀδύνατον ἦν· ἢ γὰρ ἀγνῶτα ἂν εὗρεν ᾧ ἐρεῖ, ἢ γνώριμον ἄπιστον. ἀλλήλοις γὰρ ἅπαντες ὑπόπτως προσῄεσαν οἱ τοῦ δήμου, ὡς μετέχοντά τινα τῶν

cædis auctor aut inquirebatur, aut plectebatur; omnesque metu continebantur, cum conjuratorum numerum ignorarent, majoremque crederent, quam erat, et alius alium suspectum haberet.

καίωσις] ἀντὶ τοῦ κόλασις. ἢ εἰς δίκην ἀπαγωγή, ἤτοι κρίσις. 2. Κέρδος ὁ μὴ πάσχων τι βίαιον] ὁ μηδὲν (φησί) πάσχων βίαιον κέρδος ἡγεῖτο τὸ μηδὲν πάσχειν. 3. Καὶ τὸ ξυνεστηκὸς πολὺ πλέον ἡγούμενοι] καὶ τοὺς συνεστηκότας κατὰ τοῦ δήμου πλείονας νομίζοντες εἶναι, ἤπερ ὅσοι ἦσαν, τεταπείνωντο ταῖς γνώμαις. 5. Διὰ τὸ μέγεθος τῆς πόλεως] καὶ διὰ τὸ μέγεθος (φησί) τῆς πόλεως ἠγνόουν τοὺς συνεστῶτας, καὶ οὐκ ἐδύναντο αὐτοὺς ἐξευρεῖν. καὶ διὰ τὸ κρύφα δὲ ἐκείνους πράττειν, οὐκ ἐδύναντο εὑρεῖν αὐτούς. 6. Κατὰ δὲ τὸ αὐτὸ τοῦτο] κατὰ τὸ ἀγνοεῖν (φησί) τοὺς ἐκ τῆς ὀλιγαρχίας, οὐκ ἦν δυνατὸν (τουτέστιν ἀσφαλὲς) ἀγανακτήσαντά τινα τοῖς πραττομένοις ἀπολοφύρασθαι παρὰ τῷ πέλας. 9. Ἀλλήλοις γὰρ ἅπαντες] τὸ μὲν ἀλλήλοις ἀντὶ τοῦ ἄλλος ἄλλῳ. τὸ δὲ "ὡς μετέχοντα" ἀντὶ τοῦ μετέχοντι.

laudat, Leopardum V. Emendation. 9. Gataker de Stilo Novi Instrum. cap. 8. et Interpretes Ciceronis ad lib. V. in Verrem cap. 57. Dux.

2. βέβαιον d.i.
εἰ om. K.
σιγῶν A.F.Q. σιγῇ i. ἐσίγα d.
4. ὅσον addidi ex A.B.F.H.L. N.O.P.f.g.
ὂν i. cum Porto: vulgo ὁ ἦν.
ἡττῶντο B. ἧσσόν τε A.F. ἧσσον τι H.
5. αὐτοὶ A.B.F.L.O.Q.f.g.k.
διὰ om. K.b.c.d.e.i.k.
6. εἶχον αὐτοὶ ἐξευρεῖν A.B.F. H.L.O.P.Q.g. εἶχον αὐτὸ ἐξευρεῖν f.
ταὐτὸ B.
7. προσολοφύρεσθαί d.i.
Προσολοφ.] Hor. Epod. II. 12. *Querebar applorans tibi.*
τινα c.e.
ἀναγκάσαντα g.
ἀμύνεσθαι i.k.
8. ἐπιβουλεύοντα i.
ἄγνωστα f.
ἂν om. B.i.
10. οἱ τοῦ δήμου ὑπόπτως προσῄεσαν Gregor. Cor. p. 80.
μετέχοντί τινι d.
Μετέχοντά τινα, pro μετέχοντός τινος, dicit Corinthus. At Scholiastes pro μετέχοντι τινί. Satis usitatum est in Lingua Græca, ut præcedentem alium casum accusativus sequatur. Vid. ad IV. 2. Plutarchus Romul. pag. 33. Ἰστέον τινὰ παρεγγυῆσαι ταῖς κίρσις ὑφαίνειν δεδεμένας, ὡς, ὅταν

γιγνομένων. ἐνῆσαν γὰρ καὶ οὓς οὐκ ἄν ποτέ τις ᾤετο ἐς ὀλιγαρχίαν τραπέσθαι· καὶ τὸ ἄπιστον οὗτοι μέγιστον πρὸς τοὺς πολλοὺς ἐποίησαν, καὶ πλεῖστα ἐς τὴν τῶν ὀλίγων ἀσφάλειαν ὠφέλησαν, βέβαιον τὴν ἀπιστίαν τῷ δήμῳ πρὸς ἑαυτὸν καταστήσαντες. 5

67. Itaque cum Pisander advenisset, statim reliqua attigit; delectisque decem viris mandatum est negotium, ut de republica optime constituenda dicta die ad populum ferrent. Qui, concione in Colonum convocata, nihil præterea populum rogarunt, nisi licere in præsens cuique refellere, quic quid vellet, postmodo

Ἐν τούτῳ οὖν τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο. καὶ πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους δὲ ξυγγράψαντας γνώμην ἐσενεγκεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν, καθ' ὅ τι ἄριστα 10 ἡ πόλις οἰκήσεται. ἔπειτα, ἐπειδὴ ἡ ἡμέρα ἐφῆκε, ξυνέκλησαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνὸν (ἔστι δὲ ἱερὸν Πο-

2. Καὶ τὸ ἄπιστον οὗτοι] καὶ οἱ μὴ δοκοῦντες μὲν ὅλως ὀλιγαρχικοὶ εἶναι, ὄντες δὲ ἐν τῇ συνωμοσίᾳ, μεγάλως ἐποίησαν ἀπιστεῖν αὐτοὺς ἀλλήλοις. ἢ ἀπιστεῖν αὐτοὺς ἐποίησαν ὅτι ἐστὶ συνωμοσία. 3. Ἐς τὴν τῶν ὀλίγων ἀσφάλειαν ὠφέλησαν] ὠφέλησαν, ὥστε ἐν ἀσφαλείᾳ εἶναι ἀπιστεῖν ὅλως ποιήσαντες τοὺς πολλοὺς ἀλλήλοις. ἐκείνων γὰρ τῶν μὴ ἄν ποτε νομισθέντων ὀλιγαρχίας κοινωνήσειν, ματασχόντων τῆς συνωμοσίας, οὐδεὶς οὐδενὶ ἔτι ἐπίστευεν. 8. Εἶπον γνώμην] βουλήν. 10. Καθ' ὅ τι ἄριστα ἡ πόλις οἰκήσεται] ἤγουν ὠφελιμώτατα. 11. Ἡ ἡμέρα ἐφῆκεν] ἀντὶ τοῦ παρῆν ἡ ἡμέ-

ἐξυφήνωσι, τότε δοθησομένας πρὸς γάμον. Duk.

1. γενομένων L.O.g.k. γεγενημένων Gregorius.

οὓς] ὡς A. ὥσπερ K.

2. τὸ om. Q.K.

5. ἑαυτῶν B.

6. ἐν δὲ τούτῳ τῷ καιρῷ Etymol. M. v. συγγραφεῖς.

Ἐν τούτῳ οὖν τῷ καιρῷ—οἰκήσεται] Hæc laudat Harpocration in συγγραφεῖς εἰς τὸν δῆμον. Vide ibi omnino Valesium. Wass.

τὸν om. Suidas v. ξυγγραφεῖς.

ἐλθόντες—καὶ] ἐλθόντες εἰς ἀθήνας Suidas.

7. εὐθὺ Etym. M.

9. δὲ om. Suidas.

10. ἐσενεγκεῖν L.O.P.d.i.k.

11. ἔπειτα ἐπειδὴ] ἐπεὶ Suidas.

ἡ om. A.B.F.H.K.L.

ἐφῆκε παρῆν k. παρῆν γρ. g.

ξυνέκλησαν F.H. ξυνέκλεισαν A. B.k. ceteri cum Suida ξυνέλεξαν.

12. Ἐκκλησίαν ἐς τὸν Κολωνὸν] Ordinaria concionum loca fuerunt Forum, Pnyx, Theatrum Dionysiacum. Extra ordinem vero in Piræeo, in Colono, in Munychia conciones habebantur. Huds.

ἔστι δὲ] ἣν Suidas.

Ἱερὸν Ποσειδῶνος] Erat id Neptuni templum sine dubio τοῦ Ἱππίου plane, quemadmodum Colonus iste Ἵππιος vocabatur, ut distingueretur ab altero in urbe, qui Ἀγοραῖος dictus erat. Vide Meursium de Pop. Att. in voce Κολωνὸς, Ejusdemque reliquam

σειδῶνος ἕξω πόλεως, ἀπέχον σταδίους μάλιστα δέκα), καὶ ἐσήνεγκαν οἱ ξυγγραφῆς ἄλλο μὲν οὐδὲν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων ἀνειπεῖν γνώμην ἣν ἄν τις βούληται· ἣν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῷ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὴ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἔτι ἐκ τοῦ αὐτοῦ κόσμου μήτε μισθοφορεῖν, πρόεδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους δὲ ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτὸν τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας ἐς τὸ βουλευτήριον, ἄρχειν ὅπῃ ἂν ἄριστα γιγνώσκωσιν, αὐτοκράτορας, καὶ τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν, ὁπόταν αὐτοῖς δοκῇ. * ἦν δὲ ὁ μὲν τὴν γνώμην ταύτην εἰπὼν Πείσανδρος, καὶ τἆλλα ἐκ τοῦ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον· ὁ μέντοι ἅπαν τὸ πρᾶγμα ξυνθεὶς, ὅτῳ τρόπῳ κατέστη ἐς τοῦτο, καὶ ἐκ πλείστου ἐπιμεληθεὶς Ἀντιφῶν ἦν, ἀνὴρ Ἀθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ

autem παρανόμων actionem intendere gravissimis pœnis coërceri. Tum lectis quinque proedris, quadragenti cooptati sunt, qui rempublicam administrarent, et quoties visum esset, illos quinquies mille cives in concionem advocarent.

68. Hæc omnia per Pisandrum palam gerebantur; Antiphon autem, vir ejus ætatis sagacissi-

ρα. 7. Ἐκ τοῦ αὐτοῦ κόσμου] ἤγουν ἐκ παλαιᾶς καὶ δημοτικῆς καταστάσεως. ἤγουν ἐκ τῆς δημοκρατίας. 9. Ἕκαστον πρὸς ἑαυτῷ τρεῖς] γράφε-

Atticam. p. 25. Huds.

1. ἕξω—δέκα om. Suidas.

Articulum ante πόλεως omisi cum A.B.F.H.L.O.Q.c.f.g.k.

2. ἐσήνεγκαν Suidas.

συγγραφεῖς F.

3. ἀθηναίος Suidas.

ἀνειπεῖν] ἀνατρέπειν A.F.H.K. N.c.e. cum Suida.

4. βούληται A.F.f.g.k. cum Suida.

παρανομῶν A.F.

5. τῳ om. K.

βλάψει F.H.

6. δὲ K.

μήτε καὶ ἄρχειν ἔχειν B.

7. ἔτι om. K.e. et Suidas.

8. δὲ om Suidas.

ἔχεσθαι e.

9. ἄνδρας addidi ex A.B.F. H.K.Q. et Suida.

ἑαυτὸν A.B.H.Q.f. ἑαυτῶν F. ceteri ἑαυτῷ.

11. ὅπου c.

γιγνώσκουσιν F.H.K.

13. δοκεῖ H.Q. δοκεῖν g. δοκοῖη d.i.

ταύτην τὴν γνώμην Suidas: εἰπὼν ταύτην Q.

15. πᾶν B.

16. κατέστησε τοῦτο B.

ἐπιμελετηθεὶς margo d.

17. Ἀντιφῶν] Adi in ejus Vita Plutarchum Moral. p. 832. Au-

mus et eloquentissimus, atque ob ingenii orationisque vim populo adeo suspectus, ut non auderet in publico verba facere, omnem rem commentus erat. Etiam Phrynichus transiit ad has partes, sperans, ita facillime Alcibiadem arceri a re-

τε οὐδενὸς ὕστερος, καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος καὶ ἃ ἂν γνοίη εἰπεῖν, καὶ ἐς μὲν δῆμον οὐ παριὼν οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ' ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος, τοὺς μέντοι ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα εἰς ἀνὴρ, ὅστις ξυμβουλεύσαιτό τι, δυνάμενος ὠφελῶν. καὶ αὐτός τε, ἐπειδὴ τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐπακοῦτο, ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων αἰτιαθεὶς, ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος. παρέσχε δὲ καὶ Φρύνιχος ἑαυτὸν πάντων διαφερόντως προθυμότατον ἐς τὴν ὀλιγαρχίαν, δεδιὼς τὸν Ἀλκιβιάδην, καὶ ἐπιστάμενος

5 10

ται καὶ πρὸς ἑαυτόν. 4. Δεινότητος] ῥητορείας. 5. Πλεῖστα] πλεῖστα εἷς ἀνὴρ δυνάμενος ὠφελεῖν ἐν τῷ συμβουλεύειν. 9. Ὑπὲρ αὐτῶν τούτων αἰτίας] ὑπὲρ τῆς αἰτίας τῆς τούτων, τουτέστι τῶν κατὰ τὴν ὀλιγάρχιαν, ὡς

stera usum compositione, ait Dionys. Halicarn. tom. II. pag. 22. Wass. In Cod. Cam. hic est Scholion: ὁ τοῦ παρόντος συγγραφέως διδάσκαλος. Sic etiam Suidas in Ἀντιφῶν, et Marcellinus in Vita Thucydidis. Contra Cæcilius apud Plutarchum in Vitis x. Rhetorum, et Photium in Biblioth. Antiphontem Thucydidis discipulum fuisse, tradidit. Duk.

1. γε A.F.H.L.O.P.d.f.g.k.
ὕστερος] δεύτερος B.
2. ἂν om. G.b.c.d.e.g.i.k. ante ἃ ponunt F.H.
μὲν om. d.i. μὲν τὸν g.
3. ἑκουσίως A.F.H.L.O.Q.g.k.
5. καὶ ἐν δήμῳ] om. L. ante illa καὶ ἐν δικαστηρίῳ ponit K.
6. ὅστις] ὅτι L.O.P.g. ὅτῳ d.i.
ξυμβ.—ὠφελεῖν om. g.
7. τε om. f. præstiterit δέ.
ἐπειδὴ μετέστη ἡ δημοκρατία καὶ ἐς ἀγῶνας κατέστη μετὰ τῶν A.B.F.H.L.O.P. g.i. et omisso μετέστη k. μετὰ habent etiam Q.f.
Τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα] Plane eodem modo loquitur Plato Epist. VII. non longe a principio: Χρόνῳ δὲ οὐ πολλῷ μετέπεσε τὰ τῶν τριάκοντά τε, καὶ πᾶσα ἡ τότε πολιτεία. In eo, quod plerique MSS. habent, nihil boni sensus invenire possum. Duk.
τριακοσίων F.g.
μεταπεσόντων L.O.
9. αἰτιαθεὶς A.B.F.H.L.N.O. Q.b.f.g.i. αἰτιασθεὶς k. vulgo αἰτίας.
ὡς om. A.F.H.
κατέστησε f.
10. ἀπολογησόμενος B.
καὶ ὁ φρύνιχος B.N.
11. προθυμότατα e.
12. ἀλκιβιάδη e.

εἰδότα αὐτὸν ὅσα ἐν τῇ Σάμῳ πρὸς τὸν Ἀστύοχον ἔπραξε, νομίζων οὐκ ἄν ποτε αὐτὸν κατὰ τὸ εἰκὸς ὑπ' ὀλιγαρχίας κατελθεῖν· πολύ τε πρὸς τὰ δεινὰ, ἐπειδήπερ ὑπέστη, φρεγγυώτατος ἐφάνη. καὶ Θηραμένης ὁ τοῦ Ἄγνω-
5 νος ἐν τοῖς ξυγκαταλύουσι τὸν δῆμον πρῶτος ἦν, ἀνὴρ οὔτε εἰπεῖν οὔτε γνῶναι ἀδύνατος. ὥστε ἀπ' ἀνδρῶν πολλῶν καὶ ξυνετῶν πραχθὲν τὸ ἔργον οὐκ ἀπεικότως, καίπερ μέγα ὂν, προὐχώρησε· χαλεπὸν γὰρ ἦν τὸν Ἀθηναίων δῆμον ἔτει ἑκατοστῷ μάλιστα, ἐπειδὴ οἱ τύραννοι κατε-
10 λύθησαν, ἐλευθερίας παῦσαι, καὶ οὐ μόνον μὴ ὑπήκοον ὄντα, ἀλλὰ καὶ ὑπὲρ ἥμισυ τοῦ χρόνου τούτου αὐτὸν ἄλλων ἄρχειν εἰωθότα.

ditu posse; et Theramenes ex iisdem partibus erat. Atque ita factum est, ut, cum prudentissimi viri in conjuratione essent, difficillima res ab iis perficeretur.

69. Ἐπειδὴ δὲ ἡ ἐκκλησία οὐδενὸς ἀντειπόντος, ἀλλὰ κυρώσασα ταῦτα διελύθη, τοὺς τετρακοσίους ἤδη ὕστε-
15 ρον τρόπῳ τοιῷδε ἐς τὸ βουλευτήριον εἰσήγαγον. ἦσαν δ' Ἀθηναῖοι πάντες ἀεὶ οἱ μὲν ἐπὶ τείχει, οἱ δ' ἐν τάξει, τῶν ἐν Δεκελείᾳ πολεμίων ἕνεκα, ἐφ' ὅπλοις. τῇ οὖν

Introducti ergo quadringenti in curiam, provisis omnibus, quæ necessaria viderentur,

συγκαταστήσας. 1. Εἰδότα αὐτὸν] τὸν Ἀλκιβιάδην. 4. Φρεγγυώτατος] ἱκανώτατος. 16. Ἐν τάξει] παρατάξει.

1. τὸν om. F.f.
ἔπραισσεν e.
2. τὸ om. d.
3. τε A.B.F.H.K.N.Q.f.i. vulgo δέ.
4. καὶ ὁ θηραμένης K.
Θηραμένης] Vide Lysiam Orat. XI. p. 164. et 169. Ed. Hanov. Wass. De Theramene Scholiastes Aristoph. Ran. v. 546. ubi non recte editur, ὁ Θουκυδίδης δὲ αὐτὸν ἐν πρώτῳ ἐπαινεῖ, pro ἐν ὀγδόῳ. Duk.
5. πρῶτον Q.
6. ὑπ' P.
8. ὧν] ἂν F.H. ἂν K.
τῶν A.F.H.L.O.
9. ἐπ' ἔτει A.B.F.H.L.O.P.Q. f.g.i.k.
ἑκατοστῷ] ἕκαστος τῷ A.
10. οὐ] μὴ c.
11. αὐτὸν om. Q.
13. ἐπεὶ e.
14. ἤδη ὕστερον τρόπῳ τοιῷδε B. ceteri τρόπῳ τοιῷδε ὕστερον ἤδη, nisi quod τοιῷδε om. K.e. ὕστερον om. O. ἤδη om. L.
15. εἰσῆγον P.
16. ἀθηναῖοι B.F.H.K.L.N.O. P.Q.f.g.i.k. vulgo ἀθηναίων.
οἱ δ'] οὐ δ' B.
17. εἵνεκα B.
Δεκελείᾳ] Populus Hippothoontidis. v. Herodot. IX. 72. ὁ δημότης Δεκελειεὺς Steph. Δεκελεῖς apud Lysiam. Inscriptio A-

evocatis egressisque senatoribus sorte lectis integram mercedem solverunt.

ἡμέρᾳ ἐκείνῃ τοὺς μὲν μὴ ξυνειδότας εἴασαν, ὥσπερ εἰώθεσαν, ἀπελθεῖν, τοῖς δ' ἐν τῇ ξυνωμοσίᾳ εἴρητο ἡσυχῇ, μὴ ἐπ' αὐτοῖς τοῖς ὅπλοις, ἀλλ' ἄπωθεν, περιμένειν, καὶ ἤν τις ἐνιστῆται τοῖς ποιουμένοις, λαβόντας τὰ ὅπλα μὴ ἐπιτρέπειν. ἦσαν δὲ καὶ Ἄνδριοι καὶ Τήνιοι καὶ Καρυστίων τριακόσιοι καὶ Αἰγινητῶν τῶν ἐποίκων, οὓς Ἀθηναῖοι ἔπεμψαν οἰκήσοντας, ἐπ' αὐτὸ τοῦτο ἥκοντες ἐν τοῖς ἑαυτῶν ὅπλοις, οἷς ταῦτα προείρητο. τούτων δὲ διατεταγμένων οὕτως ἐλθόντες οἱ τετρακόσιοι, μετὰ ξιφιδίου ἀφανοῦς ἕκαστος, καὶ οἱ εἴκοσι καὶ ἑκατὸν μετ' αὐτῶν [Ἕλληνες] νεανίσκοι, οἷς ἐχρῶντο εἴ τί

2. Εἴρητο ἡσυχῇ] κρύφα (φησὶν) εἴρητο παρ' αὐτοῖς τοῖς ὅπλοις, μηδ' ἐν τῇ εἰθισμένῃ χώρᾳ, ὅθα ἐφύλαττον, μένειν. 11. Εἴ τί του δέοι χειρουργεῖν] ἤγουν διαχειρίσασθαί τινα καὶ ἀναιρεῖν.

then. quæ Duilianam antiquitate exsuperat, ΔΕΚΕΛΕΤΣ. Wheler. 369. Δεκελεικὸς Harpocrat. p. 118. v. Spon. de pagis Atticis. Demosth. adv. Androt. 420. Δεκελεικοῦ πολέμου. et sic Isocrates p. 243. Wass.

1. μὴ om. H.L.i.
ξυνειπόντας g.
ὡς, omissa περ, F.H.f.
2. συνωμοσίᾳ B. ξυνομοσίᾳ F. H.
3. ὑπ' nonnulli.
Ὑπ' αὐτοῖς τοῖς ὅπλοις] MSS. et Vett. Ed. ἐπ' αὐτοῖς. male. Noster alibi hanc in rem adhibet ὑπὸ, prorsus ut Latini, *sub armis*. Wass. Ὑπ' αὐτοῖς primus edidit Stephanus, fortassis e libro aliquo scripto. Eum sequuti sunt Portus et Hudsonus. Cetera omnia exemplaria, tam scripta, quam edita, habent ἐπ' αὐτοῖς. Duk.
4. τις] τι P.
ἐνιστῆται A.B. vulgo ἐνίστηται.
5. τήϊοι B.Q.
Τήνιοι] Vid. Holstenium ad Stephanum. Insula hæc olim *Hydrusa*, Ophiusa. Demosthenes adv. Polyclem 707. Τῆνος καταληφθεῖσα ὑπ' Ἀλεξάνδρου. Numus apud Motraye ΤΗΝΙΩΝ. Meminit et Philostratus Heroic. VIII. Etiam Athenæus p. 43. 379. Schol. Aristoph. Plut. v. 718. Harpocrat. p. 331. Aristot. de Mirab. 123. Ecdicium fuisse Episcopum Teniorum circa A. Chr. CCCLXXXIII. ex Conciliis patet. Et in Notit. Episc. ὁ Τήνου bis memoratur. Oppidum et agrum e Selimis ducibus ferro flammisque vastatum, scribit Leunclavius in Annalium Turc. supplemento. Describit Tournefort I. 296. Wass.
6. καρύστιοι Q.
7. οἱ ἀθηναῖοι omnes præter B.
οἰκήσαντας B.
τὰ αὐτὰ B.
9. τριακόσιοι K.
10. καὶ οἱ ἑκατὸν c.e.
αὐτοῦ c.
11. ἕλληνες om. B.K.N.c.e.g.
τι om. Q. post του ponit B.

που δέοι χειρουργεῖν, ἐπέστησαν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς οὖσιν ἐν τῷ βουλευτηρίῳ, καὶ εἶπον αὐτοῖς ἐξιέναι λαβοῦσι τὸν μισθόν· ἔφερον δὲ αὐτοῖς τοῦ ὑπολοίπου χρόνου παντὸς αὐτοὶ, καὶ ἐξιοῦσιν ἐδίδοσαν. * ὡς δὲ τούτῳ τῷ τρόπῳ ἥ τε βουλὴ οὐδὲν ἀντειποῦσα ὑπεξῆλθε, καὶ οἱ ἄλλοι πολῖται οὐδὲν ἐνεωτέριζον ἀλλ' ἡσύχαζον, οἱ [δὲ] τετρακόσιοι ἐσελθόντες ἐς τὸ βουλευτήριον τότε μὲν πρυτάνεις τε σφῶν αὐτῶν ἀπεκλήρωσαν, καὶ ὅσα πρὸς τοὺς θεοὺς, εὐχαῖς καὶ θυσίαις καθιστάμενοι ἐς τὴν ἀρχὴν ἐχρήσαντο, ὕστερον δὲ πολὺ μεταλλάξαντες τῆς τοῦ δήμου διοικήσεως, πλὴν τοὺς φεύγοντας οὐ κατῆγον τοῦ Ἀλκιβιάδου ἕνεκα, τὰ δὲ ἄλλα ἔνεμον κατὰ κράτος τὴν πόλιν. καὶ ἄνδρας τέ τινας ἀπέκτειναν οὐ πολλοὺς, οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι, καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο· πρός τε Ἄγιν τὸν Λακεδαιμονίων βασιλέα, ὄντα ἐν τῇ Δεκελείᾳ, ἐπεκηρυκεύοντο, λέγοντες διαλλαγῆναι βούλεσθαι, καὶ εἰκὸς εἶναι αὐτὸν σφίσι, καὶ οὐκέτι τῷ ἀπίστῳ δήμῳ, μᾶλλον

70. Deinde Prytanes ex suorum numero sorte legerant diisque sacrificia solemnia fecerunt; mox tamen violentius civitatem tenuerunt, nonnullos occiderunt, alios in vincula conjecerunt, alios vero in suas partes traxerunt. Et cum Agide, qui ad Deceliam erat, de pace agebant.

Ἔφερον δὲ αὐτοῖς] ἤγουν τοῖς ἀπὸ τοῦ κυάμου βουλευταῖς. 8. Ἀπεκλήρωσαν] ἤγουν διὰ κλήρου ἀποκατέστησαν. 10. Πολὺ μεταλλάξαντες τῆς τοῦ δήμου διοικήσεως] ἤγουν μεταθέντες τὴν πολιτείαν. 12. Ἔνεμον] ἤγουν ἐνέμοντο καὶ ἐκαρποῦντο.

3. αὐτοὶ om. i.
5. δὲ] τε B.
τῷ τρόπῳ τούτῳ P.
οὐδὲν B. μηδὲν c.
7. δὲ om. c.
τριακόσιοι B.
ἐπελθόντες c.d.e.i. ἐλθόντες Q. f.k.
8. μὲν om. N.
τε om. K. c.d.e.
ἐπεκλήρωσαν i.
10. ἀρχὴν] μάχην L.
καταλλάξαντες L.
12. τοὺς om. K.e.
ἀλκιβιάδου δὲ ἕνεκα K.L.O.P.e. g.k.
Ἔνεμον κατὰ κράτος] Id est, διῴκουν. Thomas Magister in νέμω. Duk.
13. κράτος om. B.
ἀπέκτειναν K.
15. τοὺς] οὓς B.
μετεστήσαντο A.B.F.H.L.O.Q. f.g.i.k. vulgo μετέστησαν.
16. τῶν λακ. βασ. F.i.k. τῶν λακ. τὸν βασ. B.
18. αὐτὸν] αὐτοῖς A.F.H.L.N. O.P.Q.f.g.k.

71. Is vero minus ipsorum concordiæ confisus, copias majores ex Peloponneso arcessivit, ut aut perturbatas, quo vellet, perduceret, aut impetu facto urbem parum custoditam subigeret. Cum vero accedenti ad urbem Athenienses non trepidantes resisterent et obviam irent, exercitum reduxit. Et denuo quadringenti et ad Agidem, et Lacedæmonem de pace miserunt.

ξυγχωρεῖν. * ὁ δὲ νομίζων τὴν πόλιν οὐχ ἡσυχάζειν, οὐδὲ εὐθὺς οὕτω τὸν δῆμον τὴν παλαιὰν ἐλευθερίαν παραδώσειν, εἴ τε στρατιὰν πολλὴν ἴδοι σφῶν, οὐκ ἂν ἡσυχάσειν, οὐδὲ ἐν τῷ παρόντι πάνυ τι πιστεύων μὴ οὐκέτι ταράττεσθαι αὐτοὺς, τοῖς μὲν ἀπὸ τῶν τετρακοσίων ἐλθοῦσιν οὐδὲν ξυμβατικὸν ἀπεκρίνατο, προσμεταπεμψάμενος δὲ ἐκ Πελοποννήσου στρατιὰν πολλὴν οὐ πολλῷ ὕστερον καὶ αὐτὸς τῇ ἐκ τῆς Δεκελείας φρουρᾷ μετὰ τῶν ἐλθόντων κατέβη πρὸς αὐτὰ τὰ τείχη τῶν Ἀθηναίων, ἐλπίσας ἢ ταραχθέντας αὐτοὺς μᾶλλον ἂν χειροῦσθαι σφίσιν ἢ βούλονται, ἢ καὶ αὐτοβοεὶ ἂν διὰ τὸν ἔνδοθέν τε καὶ ἔξωθεν κατὰ τὸ εἰκὸς γενησόμενον θόρυβον· τῶν γὰρ μακρῶν τειχῶν διὰ τὴν κατ' αὐτὰ ἐρημίαν λήψεως οὐκ ἂν ἁμαρτεῖν. ὡς δὲ προσέμιξέ τε ἐγγὺς καὶ οἱ Ἀθηναῖοι τὰ μὲν ἔνδοθεν οὐδ' ὁπωστιοῦν ἐκίνησαν, τοὺς δὲ ἱππέας ἐκπέμψαντες καὶ μέρος τι τῶν ὁπλιτῶν καὶ ψιλῶν καὶ τοξοτῶν ἄνδρας τε κατέβαλον αὐτῶν διὰ τὸ ἐγγὺς προσελθεῖν καὶ ὅπλων τινῶν καὶ νεκρῶν ἐκράτησαν, οὕτω δὴ γνοὺς ἀπήγαγε πάλιν τὴν στρατιάν. καὶ αὐτὸς μὲν καὶ οἱ μετ' αὐτοῦ κατὰ χώραν ἐν τῇ Δεκελείᾳ ἔμενον, τοὺς δ' ἐπελθόντας ὀλίγας τινὰς ἡμέρας ἐν τῇ γῇ μείναντας ἀπέπεμψεν ἐπ' οἴκου. μετὰ δὲ τοῦτο παρά τε τὸν Ἄγιν ἐπρεσβεύοντο

9. Ἐλπίσας ἢ ταραχθέντας] ἤλπισε ῥᾳδίως κρατήσειν τῶν Ἀθηναίων τοὺς Πελοποννησίους, καὶ ὃς αὐτοὺ βούλονται οἱ Πελοποννήσιοι. Ἴσως δὲ καὶ ταραχῆμα χειρώσεσθαι τὴν πόλιν, ἔνδοθέν τε τεθορυβημένην διὰ τὴν στάσιν, καὶ ἔξωθεν διὰ τοὺς πολεμίους ἐγγὺς προσελθόντας τῇ πόλει τῶν Ἀθηναίων.

2. παραδώσει c.
3. ἡσυχάσει H. ἡσυχάζειν Q.
4. πάνυ τι A.B.H.O.f.g.i.k. πάνυ τοι L. vulgo πάνυ.
6. οὐδὲ A.F.
10. ἢ] εἰ A.B.F.H.c.
12. τῶν γὰρ] τῆς τῶν correctus A. τῶν γοῦν Baverus.
16. τε recepi ex B. Ἄνδρας κατέβαλον αὐτῶν] Ellipsis τοῦ τινὰς, de qua vid. ad VII. 43. Duk.
17. κατέβαλλον e. κατέλαβον L.d.
18. καὶ τινῶν νεκρῶν Q.
21. ἀπέπεμψεν A.B.F.H.g.i.k. vulgo ἀπέπεμψαν.

οἱ τετρακόσιοι οὐδὲν ἧσσον, καὶ ἐκείνου μᾶλλον ἤδη προσδεχομένου καὶ παραινοῦντος ἐκπέμπουσι καὶ ἐς τὴν Λακεδαίμονα περὶ ξυμβάσεως πρέσβεις, βουλόμενοι διαλλαγῆναι.

5 Πέμπουσι δὲ καὶ ἐς τὴν Σάμον δέκα ἄνδρας, παραμυθησομένους τὸ στρατόπεδον, καὶ διδάξοντας ὡς οὐκ ἐπὶ βλάβῃ τῆς πόλεως καὶ τῶν πολιτῶν ἡ ὀλιγαρχία κατέστη, ἀλλ' ἐπὶ σωτηρίᾳ τῶν ξυμπάντων πραγμάτων, πεντακισχίλιοί τε ὅτι εἶεν, καὶ οὐ τετρακόσιοι μόνον, οἱ 10 πράσσοντες· καί τοι οὐ πώποτε Ἀθηναίους, διὰ τὰς στρατείας καὶ τὴν ὑπερόριον ἀσχολίαν, ἐς οὐδὲν πρᾶγμα οὕτω μέγα ἐλθεῖν βουλεύσοντας, ἐν ᾧ πεντακισχιλίους ξυνελθεῖν. καὶ τἆλλα ἐπιστείλαντες τὰ πρέποντα εἰπεῖν, ἀπέπεμψαν αὐτοὺς εὐθὺς μετὰ τὴν ἑαυτῶν κατάστασιν, 15 δείσαντες μή, ὅπερ ἐγένετο, ναυτικὸς ὄχλος οὔτε αὐτὸς μένειν ἐν τῷ ὀλιγαρχικῷ κόσμῳ ἐθέλῃ, σφᾶς τε μὴ ἐκεῖ-

72. Samum quoque decem viros, de his omnibus nuntiantes, miserunt, qui oligarchiam speciose commendarent, ne navalis grex eam exosus contra tenderet, ipsorumque imperium everteret.

10. Καί τοι οὐ πώποτε Ἀθηναίους] τοὺς Ἀθηναίους, διὰ τὸ ἀεὶ πρὸς ὑπερορίους πολεμίους πολέμους εἶναι, καὶ τοὺς πολλοὺς αὐτῶν ἀποδημεῖν, οὐδεπώποτε οὕτως ἐν μεγάλῳ πράγματι γεγενῆσθαι, ὥστε ἀθρόους πεντακισχιλίους συνελθεῖν σκεψομένους περὶ τῶν κοινῶν. δηλοῦται δὲ ἐντεῦθεν ὅτι οἱ τετρακόσιοι δημοκρατικωτέραν τῆς πρόσθεν ἐπηγγείλαντο ποιήσειν τὴν πολιτείαν, πεντακισχιλίους κοινωνοὺς παραλαβόντες, ὅσοι οὐδεπώποτε πρότερον

1. ἧττον B.d.i.
πλείονος B.
μᾶλλον ἀποδεχομένου c.
3. περὶ] παρὼν B.
6. διδάξαντας F.
7. πολιτῶν] ἀπλιτῶν margo H.
9. οὔτε τριακόσιοι K.k. οἱ τετρακόσιοι B.
10. πράττοντες B.
οὐ μόνον πώποτε F.H.
11. Τὴν ὑπερόριον ἀσχολίαν] Vett. Edd. cum uno alteroque MSS. quidem ὑπερορίαν· sed recte Stephanus dedit ὑπερόριον, quod et plerique MSS. habent. Apollodorus II. 7. 4. Αἴγιν δὲ ἔδωκε Ναυπλίῳ ὑπερόριον ἀπεμπολήσαι. Dux.
ὑπερορίαν K.i. ὑπερορίαν k.
12. ἐλθεῖν μέγα Q.
13. ξυνεξελθεῖν e.
καὶ τἆλλα] ἄλλα τ' B.
14. ἀντέπεμψαν L.O.P.
αὐτοὺς recepi ex A.B.F.H.L. N.O.i.k.
εὐθὺς om. L.O.i.k.
ἑαυτῶν B. ceteri αὐτῶν.
κατάστασιν A.B.F.H.c.f.k. vulgo μετάστασιν.
16. θέλῃ Q. ἐθέλει A.F.H.c. ἐθελῆσαι B.

73. Atque ita ferme evenit, cum Samii nobiles iterum frustra Samiorum plebi insidiati fuissent. Nam Leon et Diomedon, Atheniensium præfecti, qui oligarchiæ

θεν ἀρξαμένου τοῦ κακοῦ μεταστήσωσιν. * ἐν γὰρ τῇ Σάμῳ ἐνεωτερίζετο ἤδη τὰ περὶ τὴν ὀλιγαρχίαν, καὶ ξυνέβη τοιάδε γενέσθαι ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον, ὅνπερ οἱ τετρακόσιοι ξυνίσταντο. οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες τοῖς δυνατοῖς καὶ ὄντες δῆμος, μεταβαλλόμενοι αὖθις καὶ πεισθέντες ὑπό τε τοῦ Πεισάνδρου, ὅτε ἦλθε, καὶ τῶν ἐν τῇ Σάμῳ ξυνεστώτων Ἀθηναίων, ἐγένοντό τε ἐς τριακοσίους ξυνωμόται, καὶ ἔμελλον τοῖς ἄλλοις ὡς δήμῳ ὄντι ἐπιθήσεσθαι. καὶ Ὑπέρβολόν τέ τινα τῶν Ἀθη-

βουλευσόμενοι συνῆλθον. 1. Ἀρξαμένου τοῦ κακοῦ, μεταστήσωσι] κακοῦ τῆς ὀλιγαρχίας λέγει. φησὶ δὲ ὅτι, μὴ ἀφορμὴν καὶ ἀρχὴν λαβοῦσα ἡ ὀλιγαρχία ἀπὸ τῶν ἐν Σάμῳ, καταλύσῃ τοὺς τετρακοσίους. 5. Καὶ ὄντες δῆμος] ἤγουν δημοκρατίαν καταστήσαντες. 8. Καὶ ἔμελλον τοῖς ἄλλοις, ὡς δήμῳ ὄντι ἐπιθήσεσθαι] ἔμελλον (φησί) τοὺς μὴ συνωμόσαντας καταλύσειν.

3. τάδε f.

δεῦ τὸν Q.

τοῦτον recepi ex A.B.F.H.L. N.O.P.Q.g.i.k.

4. ὃν οἱ i.

Οἱ γὰρ τότε τῶν Σαμίων ἐπαναστάντες τοῖς δυνατοῖς] Primum videbatur aliquid vitii esse in voce τότε· nam ἐπανάστασις illa anno superiore acciderat. Sed, quia Thucydides sæpe implicita ac disjecta structura orationis utitur, deinde putavi, τότε non cum ἐπαναστάντες, sed cum sequentibus, ὄντες δῆμος, μεταβαλλόμενοι, et πεισθέντες, jungendum esse. Duk.

7. ἐγένοντο—ἀθηναίων] om. H.

Ἐγένοντό τε ἐς τριακοσίους] Si hæc usque ad καὶ Ὑπέρβολόν τέ τινα per parenthesin interposita accipiamus: conjectura Palmerii (legentis οἳ καὶ ἔμελλον) non improbabilis quidem, sed tamen non plane necessaria est. Nam καὶ interdum vim participii, vel pronominis relativi habet. Thucydides IV. 67. Ἐν ὀρύγματι ἐκαθέζοντο ὅθεν ἐκλίνθευον τὰ τείχη, καὶ ἀπεῖχεν οὐ πολύ, pro ὃ ἀπεῖχεν vel ἀπέχοντι. Apollodorus I. 4. 1. Ἡ δὲ τοὺς παῖδας ἐκκαλεῖται, καὶ κατατοξεύουσιν αὐτώ. Aristænetus I. Epist. 5. Θεός τις εὐμενὴς εἰς κοινὴν σωτηρίαν φιλανθρώπως ἀπέσταλκε ταύτην, καὶ ἀμφοτέρους ἀπέσωσεν εἰσδραμοῦσα· ubi sine causa Mercerum, puto, emendare ἢ ἀμφοτέρους. Ejusdem generis est, quod Beza ad Actor. Apost. VI. 6. e Plutarcho de Solertia animal. pag. 1791. Ed Steph. adfert: Κουρεύς τις θαυμαστόν τι χρῆμα πολυφώνου καὶ πολυφθόγγου κίττης ἔτρεφε, καὶ ἀνθρώπου ῥήματα καὶ θηρείους φθόγγους ἀντιφωνεῖν. Quod si hæc tantum, ἐγένοντό τε ἐς τριακοσίους ξυνωμόται, in parenthesi dicta quis putet; non minus retineri potest καὶ, ita tamen, ut distinctio maxima post ἐπιθήσεσθαι tollatur, et oratio ita procedat: μεταβαλλόμενοι αὖθις, καὶ πεισθέντες, καὶ ἔμελλον ἐπιθήσεσθαι, καὶ Ὑπέρβολον—ἀπεκτείνουσι. Duk.

8. ξυνωμόται L.

9. Ὑπέρβολον] Χρέμητος υἱὸς, ἀ-

ναίων, μοχθηρὸν ἄνθρωπον, ὠστρακισμένον οὐ διὰ δυνάμεως καὶ ἀξιώματος φόβον ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως, ἀποκτείνουσι μετὰ Χαρμίνου τε, ἑνὸς τῶν στρατηγῶν, καί τινων τῶν παρὰ σφίσιν Ἀθη-
5 ναίων, πίστιν διδόντες αὐτοῖς, καὶ ἄλλα μετ' αὐτῶν τοιαῦτα ξυνέπραξαν, τοῖς τε πλείοσιν ὥρμηντο ἐπιτίθεσθαι. οἱ δὲ αἰσθόμενοι τῶν τε στρατηγῶν Λέοντι καὶ Διομέδοντι (οὗτοι γὰρ οὐχ ἑκόντες, διὰ τὸ τιμᾶσθαι ὑπὸ τοῦ δήμου, ἔφερον τὴν ὀλιγαρχίαν) τὸ μέλλον σημαίνουσι,
10 καὶ Θρασυβούλῳ καὶ Θρασύλλῳ τῷ μὲν τριηραρχοῦντι, τῷ δὲ ὁπλιτεύοντι, καὶ ἄλλοις οἳ ἐδόκουν ἀεὶ μάλιστα ἐναντιοῦσθαι τοῖς ξυνεστῶσι· καὶ οὐκ ἠξίουν περιιδεῖν αὐτοὺς σφᾶς τε διαφθαρέντας καὶ Σάμον Ἀθηναίοις ἀλλοτριωθεῖσαν, δι' ἣν μόνον ἡ ἀρχὴ αὐτοῖς ἐς τοῦτο ξυνέμει-
15 νεν. οἱ δὲ ἀκούσαντες τῶν τε στρατιωτῶν ἕνα ἕκαστον

non favebant, quia a populo colebantur; item Thrasybulus et Thrasyllus et alii Athenienses, maxime Parali, Samiis consilio et auxilio presto fuere.

1. Οὐ διὰ δυνάμεως] οὐ φοβούμενοι τὴν δύναμιν οὐδὲ τὸ ἀξίωμα αὐτοῦ. 11. Τῷ δὲ, ὁπλιτεύοντι] ἀντὶ τοῦ ὁπλιτικοῦ ἄρχοντι. 14. Ἐς τοῦτο ξυνέμεινεν] ἤγουν μέχρι δεῦρο μεμένηκεν. Ἄλλως ἐν τούτῳ τύχης μεμένηκεν. 15. Ἕνα ἕκαστον μετῄεσαν] ἀντὶ τοῦ ἐδέοντο ἑκάστου.

δελφὸς δὲ Χάρινος, λυχνοπώλης. De morte ejus et sepultura vide Schol. Aristoph. ad Εἰρ. v. 680. Harpocrat. Plutarchum vit. Impp. p. 196. 222. Schol. Luciani p. 4. Wass. Add. Perizonium ad Ælian. XII. Var. Histor. 43. Duk.

1. ὀστρακισθέντα Q.

Ὠστρακισμένον] Laudat Thomas Magister in ὀστρακίζομαι· ubi perperam editur, ἐν τῇ ἕκτῃ. Duk.

3. Μετὰ Χαρμίνου] Μετά τινος fieri dicuntur, quæ alicujus voluntate, auxilio, et consilio fiunt. Thucydides III. 66. Οὐ μετὰ τοῦ πλήθους ὑμῶν εἰσελθόντες. V. 29. Μὴ μετὰ Ἀθηναίων σφᾶς βούλονται Λακεδαιμόνιοι δουλώσασθαι. Ibid. 82. Ὅπως, ἢν τῆς γῆς εἴργωνται, ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν Ἀθηναίων ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ. Sic VI. 28. et 79. Duk.

χαλμίνου i.

τοῦ ἑνὸς d.i.

5. πίστιν διδόντων A. διδόντων πίστιν c.

ἄλλα e. τἄλλα g.

6. πλείοσιν] πλέουσιν B.

8. οὐκ ἔχοντες A.B.F.

10. θρασύλῳ A.B.F.H.K.P.Q. i.k.

14. μόνον ἡ A.F.H.N. νῦν μόνον ἡ B. μόνῳ μέχρι νῦν ἡ L.O. vulgo μόνον μέχρι νῦν ἡ.

15. τε addidi ex A.B.F.H.K. L.N.O.c.e.g.k.

μετήεσαν μὴ ἐπιτρέπειν, καὶ οὐχ ἥκιστα τοὺς Παράλους, ἄνδρας Ἀθηναίους τε καὶ ἐλευθέρους πάντας ἐν τῇ νῆ πλέοντας, καὶ ἀεὶ δή ποτε ὀλιγαρχίᾳ καὶ μὴ παρούσῃ ἐπικειμένους· ὅ τε Λέων καὶ ὁ Διομέδων αὐτοῖς ναῦς τινὰς, ὁπότε ποι πλέοιεν, κατέλειπον φύλακας. ὥστε, ἐπειδὴ αὐτοῖς ἐπετίθεντο οἱ τριακόσιοι, βοηθησάντων πάντων τούτων, μάλιστα δὲ τῶν Παράλων, περιεγένοντο οἱ τῶν Σαμίων πλείονες. καὶ τριάκοντα μέν τινας ἀπέκτειναν τῶν τριακοσίων, τρεῖς δὲ τοὺς αἰτιωτάτους φυγῇ ἐζημίωσαν· τοῖς δ' ἄλλοις οὐ μνησικακοῦντες δημοκρατούμενοι τὸ λοιπὸν ξυνεπολίτευον. * τὴν δὲ Πάραλον ναῦν, καὶ Χαιρέαν ἐπ' αὐτῆς τὸν Ἀρχεστράτου, ἄνδρα Ἀθηναῖον, γενόμενον ἐς τὴν μετάστασιν πρόθυμον, ἀποπέμπουσιν οἵ τε Σάμιοι καὶ οἱ στρατιῶται κατὰ τάχος ἐς τὰς Ἀθήνας, ἀπαγγελοῦντα τὰ γεγενημένα· οὐ γὰρ ἤδεσάν πω τοὺς τετρακοσίους ἄρχοντας. καὶ καταπλευσάντων αὐτῶν εὐθέως τῶν μὲν Παράλων τινὰς οἱ τετρακόσιοι, δύο ἢ τρεῖς, ἔδησαν, τοὺς δὲ ἄλλους ἀφελόμενοι τὴν ναῦν, καὶ μετεμβιβάσαντες εἰς ἄλλην στρατιῶτιν ναῦν, ἔταξαν φρουρεῖν περὶ Εὔβοιαν. ὁ δὲ Χαιρέας εὐθὺς δια-

74. Cujus rei nuntiandæ causa cum Paralum navem Athenas misissent Samii et Atheniensium in illa insula exercitus, (nondum enim compererant, quadringentos regnare), hi quidem Paralos nonnullos vinculis constringunt, ceteros in aliam navem conjectos circa Eubœam in statione retinent; Chæreas autem, qui in Paralo legatus advectus erat, simulac præsentem statum sentiebat, statim clan-

1. Τοὺς Παράλους ἄνδρας] ἤγουν τοὺς ἐκ τῆς νεὼς τῆς Παράλου. 3. Καὶ μὴ παρούσῃ ἐπικειμένους] ἀχθομένους ὀλιγαρχίᾳ, καὶ εἰ μὴ εἶναι τύχοι. 4. Αὐτοῖς] τοῖς ἐκ τῆς Σάμου δημοκρατικοῖς. 7. Οἱ τῶν Σαμίων πλείονες] οἱ δημοκρατικοί. 13. Ἐς τὴν μετάστασιν] ἤγουν εἰς τὸ καταλῦσαι τὴν

1. παράλους i.
3. ποτε ἐν τῇ ὀλιγαρχίᾳ g.
5. ὁπότε πῃ πλέοιεν A. ὁποτ' ἐπιπλέοιεν F. ὁπότε πλέοιεν K. ὁπότε ποι πλέοι d.i.
κατέλιπον A.B.K.c.e.f.g.k. ἐγκατέλιπον d.i.
8. πλέονες B. πλείους c.
μέν τινας] μένοντας L.
9. αἰτιωτάτους] ἐναντιωτάτους Q.
13. κατάστασιν Q.
14. ἐς ἀθήνας K. om. O.
15. ἀπαγγελοῦντα A.B.F.H.N. ἀπαγγελοῦντας d.i.k. ἀπαγγελοῦντες Q. ἀγγελοῦντες K. vulgo ἀγγελοῦντα.
16. εἴδεισάν Q.
17. εὐθέως recepi ex A.B.F.H. N.Q.
19. μετεμβιβάσαντες A.B.F.H. μεταβιβάσαντες L.O.P.Q.g. vulgo μετεκβιβάσαντες.
ναῦν στρατιῶτιν c.
20. διαλαθόντων g.

λαθών πως, ὡς εἶδε τὰ παρόντα, πάλιν ἐς τὴν Σάμον ἐλθὼν ἀγγέλλει τοῖς στρατιώταις ἐπὶ τὸ μεῖζον πάντα δεινώσας τὰ ἐκ τῶν Ἀθηνῶν, ὡς πληγαῖς τε πάντας ζημιοῦσι, καὶ ἀντειπεῖν ἔστιν οὐδὲν πρὸς τοὺς ἔχοντας τὴν πολιτείαν, καὶ ὅτι αὐτῶν καὶ γυναῖκες καὶ παῖδες ὑβρίζονται, καὶ διανοοῦνται, ὁπόσοι ἐν Σάμῳ στρατεύονται μὴ ὄντες τῆς σφετέρας γνώμης, τούτων πάντων τοὺς προσήκοντας λαβόντες εἴρξειν, ἵνα, ἢν μὴ ὑπακούωσι, τεθνή-

destina quadam ratione se subduxit, atque Samum reversus, omnia quæ Athenis viderat retulit atque exaggeravit, multaque mentiens adjecit.

ὀλιγαρχίαν. 2. Ἐπὶ τὸ μεῖζον πάντα δεινώσας] ἤγουν εἰς τὰ δεινότατα τῷ λόγῳ ἐπάρας. 8. Λαβόντες εἴρξειν] τὸ εἴρξειν ἀντὶ τοῦ εἴρξαι κεῖται. τὸ δὲ, ἵνα, ἢν μὴ ὑπακούσωσι, τεθνήκωσι, ἤγουν, ἢν μὴ ὑπακούσωσιν οἱ ἐν

2. ἀγγέλει A.
3. ἀθηνῶν k.
πάντα e.
5. ὅτι om. e.
6. ὁπόσοι ἐν B. vulgo ὁπόσοι τε ἐν.
7. τῆς om. e.
8. λαβόντας L.O.c.g.i.k.
ἕρξειν B.
ὑπακούωσι A.B.F.H.Q.k.
τεθνηκόσι A.H. τεθνήξονται Q. c.d.i. τεθνήξονται k. τεθνηξωσιωνται e.

Τεθνήκωσι] Vid. Thom. Magistrum in τεθνήξεται. Wass. Ostendit ibi Thomas, Platonem in Gorgia, et Libanium in futuro activo dicere τεθνήξει, *morietur*; sed hoc improbari a Luciano in Soloeciste. Grævius ad Lucianum pag. 747. adnotat, in Platonis exemplaribus editis legi τεθνήξεται· ex Henr. Stephano propter reprehensionem Luciani suspectum est, quod adfertur ex Aristophanis Acharnens. v. 324. ὡς τεθνήξων ἴσθι νῦν γε. Non negari potest, insolentiora esse hæc futura activa; neque tamen ob eam causam vel in aliis Scriptoribus, vel in Thucydide, quidquam contra consensum plerorumque MSStorum mutare ausim. Nam τεθνήκω præsens eadem ratione a perfecto τέθνηκα fieri potuit, qua πεφύκω, πεφύγω, πεπλήγω, et alia hujusmodi, a perfectis e sententia Grammaticorum formata sunt. Luciani auctoritas autem ideo aliquanto minus ponderis habet, quod non raro tamquam soloeca reprehendit ea, quibus non modo probatissimos Scriptores Græcos, sed etiam ipsum usum esse, constat. Thomas Magister in ει locum hunc Thucydidis ita laudat: ἵνα, ἢν μὴ ὑπακούωσι, τεθνήξονται. Ita fortassis mutavit, quum in suo exemplari invenisset τεθνήξωνται, quod, e canone Grammatico, sciebat, subjunctivos futuris carere. Sed parum memor præcepti sui in ἵνα· πάνυ ἀμαθὲς, ἐπὶ τοῦ μέλλοντος ἵνα, ἢ ἐὰν, ἢ ἄν, ἢ ὅταν τιθῶσι. In margine Cod. Gr. hic ad τεθνήκωσι adnotatum erat, ἀντὶ τοῦ τεθνήξονται. Τεθνήκωσι etiam Scholiastes agnoscit. Duk.

κωσι· καὶ ἄλλα πολλὰ ἐπικαταψευδόμενος ἔλεγεν.

75. * οἱ δ' ἀκούσαντες ἐπὶ τοὺς τὴν ὀλιγαρχίαν μάλιστα ποιήσαντας καὶ ἐπὶ τῶν ἄλλων τοὺς μετασχόντας τὸ μὲν πρῶτον ὥρμησαν βάλλειν· ἔπειτα μέντοι ὑπὸ τῶν διὰ μέσου κωλυθέντες, καὶ διδαχθέντες μὴ τῶν πολεμίων ἀντιπρώρων ἐγγὺς ἐφορμούντων ἀπολέσωσι τὰ πράγματα, ἐπαύσαντο. μετὰ δὲ τοῦτο λαμπρῶς ἤδη ἐς δημοκρατίαν βουλόμενοι μεταστῆσαι τὰ ἐν τῇ Σάμῳ ὅ τε Θρασύβουλος ὁ τοῦ Λύκου καὶ Θράσυλλος (οὗτοι γὰρ μάλιστα προεστήκεσαν τῆς μεταβολῆς) ὤρκωσαν πάντας τοὺς στρατιώτας τοὺς μεγίστους ὅρκους, καὶ αὐτοὺς τοὺς ἐκ τῆς ὀλιγαρχίας μάλιστα, ἢ μὲν δημοκρατηθήσεσθαί τε καὶ ὁμονοήσειν, καὶ τὸν πρὸς Πελοποννησίους πόλεμον προθύμως διοίσειν, καὶ τοῖς τετρακοσίοις πολέμιοί τε ἔσεσθαι καὶ οὐδὲν ἐπικηρυκεύεσθαι. ξυνώμνυσαν δὲ καὶ Σαμίων πάντες τὸν αὐτὸν ὅρκον οἱ ἐν τῇ ἡλικίᾳ, καὶ τὰ πράγματα πάντα καὶ τὰ ἀποβησόμενα ἐκ τῶν κινδύνων ξυνεκοινώσαντο οἱ στρατιῶται τοῖς Σαμίοις, νομίζοντες οὔτε

Quibus auditis, milites tanta ira exarserunt, ut primum tela conjicere in oligarchiæ auctores et participes conarentur; prohibiti vero ab aliis, monitique, ne, hostibus in pro pinquo stationem habentibus, rem perderent, quieverunt. Tum vero Thrasybulus et Thrasyllus, hujus mutationis auctores, omnes milites et ipsos oligarchiæ addictos maximo sacramento adegerunt, democratia se usuros et concordes futuros, et contra hostem et adversus quadringentos. Et cum Samiis res omnes et pericula communicarunt.

Σάμῳ, ἀποθάνωσιν αὐτῶν οἱ προσήκοντες. 10. Τῆς μεταβολῆς] τῆς ἀπὸ ὀλιγαρχίας εἰς δημοκρατίαν. 12. Ἢ μὲν δημοκρατησεσθαί τε] γράφεται, ἢ μὴν δημοκρατήσεσθαί τε, καὶ ὁμονοήσειν. καὶ τοὺς τετρακοσίους, πολέ-

2. ἀκούσαντες A.F.H.N.Q.f.i. vulgo ἀκούοντες.
τοὺς om. d.e.i.k.
3. ἐπὶ] ἔτι B.F.H.
5. καὶ διδαχθέντες om. i.
6. ἀφορμούντων i.
8. μεταστῆσαι A.B.F.H.L.N. O.P.Q.g. vulgo καταστῆσαι.
9. μάλιστα post προεστ. ponit B.
προεστήκεσαν A.B. προεστήκεισαν H. προειστήκεσαν F.g. vulgo προειστήκεισαν.
10. στρατιώτας τοὺς om. i.
12. δημοκρατηθήσεσθαι A.B.F vulgo δημοκρατήσεσθαι.
13. πρὸς πελοποννησίους A.B.F. H.K.L.N.O.g.i.k. vulgo πρὸς τοὺς πελοπ.
15. καὶ οὐδὲν ἐπικηρυκεύεσθαι] om. Q.
16. πάντες om. c.e.
ὅρκον] καιρὸν g.
17. ἅπαντα B.
ξυνεκοινωνήσαντο B.
18. τοῖς σαμίοις οἱ στρατιῶται c.e.

ἐκείνοις ἀποστροφὴν σωτηρίας οὔτε σφίσιν εἶναι, ἀλλ' ἐάν τε οἱ τετρακόσιοι κρατήσωσιν ἐάν τε οἱ ἐκ Μιλήτου πολέμιοι, διαφθαρήσεσθαι. * ἐς φιλονεικίαν τε καθέστασαν τὸν χρόνον τοῦτον οἱ μὲν τὴν πόλιν ἀναγκάζοντες δη-
5 μοκρατεῖσθαι, οἱ δὲ τὸ στρατόπεδον ὀλιγαρχεῖσθαι. ἐποίησαν δὲ καὶ ἐκκλησίαν εὐθὺς οἱ στρατιῶται, ἐν ᾗ τοὺς μὲν πρότερους στρατηγοὺς, καὶ εἴ τινα τῶν τριηράρχων ὑπετόπευον, ἔπαυσαν, ἄλλους δὲ ἀνθείλοντο καὶ τριηράρχους καὶ στρατηγοὺς, ὧν Θρασύβουλός τε καὶ Θράσυλλος
10 ὑπῆρχον. καὶ παραινέσεις ἄλλας τε ἐποιοῦντο ἐν σφίσιν αὐτοῖς ἀνιστάμενοι, καὶ ὡς οὐ δεῖ ἀθυμεῖν ὅτι ἡ πόλις αὐτῶν ἀφέστηκε· τοὺς γὰρ ἐλάσσους ἀπὸ σφῶν τῶν πλεόνων καὶ ἐς πάντα πορίμωτέρων μεθεστάναι. ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν, τὰς ἄλλας πόλεις, ὧν ἄρ-

76. Qua in contentione præfectos novos, quorum erat Thrasybulus et Thrasyllus, in locum veterum, quos ab imperio removerant, elegunt, et ipsi vicissim se consolantur de conditione sua, et commoda sua docent.

μοί τε ἔσεσθαι, καὶ οὐδέν. 4. Οἱ μὲν τὴν πόλιν] ἤγουν οἱ ἐν Σάμῳ τὰς Ἀθήνας. 5. Οἱ δὲ] οἱ ἐν Ἀθήναις. 11. Ἡ πόλις αὐτῶν] ἤγουν αἱ Ἀθῆναι. 13. Ἐχόντων γὰρ σφῶν τὸ πᾶν ναυτικὸν] ἤγουν τὸ ἐνδύσιμον ἔχουσιν ἐκεῖθεν, ἤγουν ἀπὸ τῶν Ἀθηνῶν, αἱ πόλεις.

1. ἐάν B. ceteri ἄν.
3. καθεστᾶσι A.F.H.N. καθίσταται Q.
6. καὶ om. Q.
μὲν recepi ex B.F.H.L.O. P.g.i.k.
7. τινας c.e.g.i.k.
ὑπετόπευον A.B.F.H. vulgo ὑπέπτευον.
8. ἔπαυσαν om. K.M.e.
ἀνείλοντο L.O.P.k.
9. στρατηγοὺς καὶ τριηράρχους L.
11. αὐτοῖς addidi ex A.B.F.H. K.L.M.N.O.P.c.e.f.g.i.k.
ἐπισάμενοι f.
12. ἐλάττους B.
σφῶν αὐτῶν τῶν Q.
13. καὶ om. L.O.P.
πάντας Q.
ποριμωτέρους e. ποριμώτεροι εὐπορώτεροι H. ποριμώτεροι οἱ εὐπορώτεροι A.B.F.

Ποριμωτέρων] Stephanus in Thes. scribit, hoc ita videri accipiendum, ut in Æschyli Prometh. v. 904. ubi Scholiastes πόριμος exponit πόρον διδοὺς, *transitum aperiens, viam faciens.* Hic interpretatur, *quibus major facultas comparandi omnia, quibus opus foret, suppeteret.* Ita potius accipiendum esse, suadent ea, quæ deinde de pecunia, commeatibus, et usu maris dicuntur. Εὐπορωτέρων puto, esse glossam e margine εἰς τὸ κείμενον inlatam. Duk.

μεθεστάναι G.K.c.e.f.g. καθιστάναι B. vulgo μεθιστάναι.
14. σφῶν] αὐτῶν K.
14. ἄλλας] τε B. τε ἄλλας A.F. H.K.L.M.O.P.c.e.f.g.i.k.

χουσιν, ἀναγκάσειν τὰ χρήματα ὁμοίως διδόναι καὶ εἰ ἐκεῖθεν ὡρμῶντο. πόλιν τε γὰρ σφίσιν ὑπάρχειν Σάμον, οὐκ ἀσθενῆ, ἀλλ' ἢ παρ' ἐλάχιστον δὴ ἦλθε τὸ Ἀθηναίων κράτος τῆς θαλάσσης, ὅτε ἐπολέμησεν, ἀφελέσθαι, τούς τε πολεμίους ἐκ τοῦ αὐτοῦ χωρίου ἀμύνεσθαι οὕπερ καὶ πρότερον. καὶ δυνατώτεροι εἶναι σφεῖς, ἔχοντες τὰς ναῦς, πορίζεσθαι τὰ ἐπιτήδεια τῶν ἐν τῇ πόλει. καὶ δι' ἑαυτούς τε ἐν τῇ Σάμῳ προσκαθημένους καὶ πρότερον αὐτοὺς κρα-

1. Καὶ εἰ ἐκεῖθεν ὡρμῶντο] ἤγουν ἐκ τῆς Σάμου. 3. Ἦλθε τῶν Ἀθηναίων] γράφεται, δεῖλθε τὸ Ἀθηναίων. 8. Ἐν τῇ Σάμῳ προσκαθημένους] ἐγένετο (φησί) παραίνεσις, ὅτι δεῖ αὐτοὺς, ἐν Σάμῳ προσκαθημένους, πρότερον κρατεῖν τοῦ ἐς τὸν Πειραιᾶ ἔσπλου· καὶ ὅτι νῦν, εἰ μὴ βούλονται ἀποδοῦναι τὴν δημοκρατίαν αὐτοῖς οἱ τετρακόσιοι, ἐν τούτῳ δυνάμεως αὐτοὶ καθεστῶσιν, ὥστε τοὺς τὴν πόλιν κατέχοντας εἴργειν δύνασθαι τῆς

2. ὡρμῶντο B.N. ceteri ὥρμηντο.

3. παρ'] περ B.

Vulgatam scripturam confirmat Plutarchus in Vita Periclis p. 305. Πολλὴν ἀδηλότητα καὶ μέγαν ἔσχε κίνδυνον ὁ πόλεμος, εἴπερ, ὡς Θουκυδίδης φησὶ, παρ' ἐλάχιστον ἦλθε Σαμίων ἡ πόλις ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος Ἀθηναίους. Sic παρὰ τοσοῦτον ἐλθεῖν dicunt Græci, non διελθεῖν. Thucydides VII. 2. Παρὰ τοσοῦτον μὲν αἱ Συρακοῦσαι ἦλθον κινδύνου. Lucianus Catapl. p. 425. Παρὰ τοσοῦτον ἦλθε διαφυγεῖν· et Pseudomant. p. 781. Παρὰ τοσοῦτον ἐλθὼν ἀποθανεῖν. Sed fortassis δὴ ἦλθε scripsit Thucydides, ut Clar. et Gr. habent; atque inde δεῖλθε illud ortum est. Duk.

δὴ ἦλθε B.K.N. δεῖλθε L. M.O.P.b.c.d.e.f.g.i.k. vulgo ἦλθε.

τὸ] τῶν M. τὸ τῶν A.F.H.L.O. d.g.i.

5. ἀμυνεῖσθαι B.

καὶ πρότερον] τῶν πραγμάτων d.

8. προκαθημένους B.F.H.K.N. f.i.

Καὶ πρότερον αὐτοὺς κρατεῖν] Interpretatio Scholiastæ, αὐτοὺς ad eos, qui in Samo erant, referentis, a sententia hujus loci aliena est; et res ipsa ostendit, utraque hæc καὶ πρότερον, καὶ νῦν ad eosdem, id est, ad eos qui Athenis erant, pertinere. Illud obscurius est, quod ab infinito κρατεῖν ad finitum καταστήσωνται transit. Sed sæpe etiam alibi negligit convenientiam modorum. VI. 34. Πείθεσθε οὖν, μάλιστα μὲν, ταῦτα τολμήσαντες, εἰ δὲ μὴ, ὅτι τάχιστα τἆλλα ἐς τὸν πόλεμον ἑτοιμάζειν. Et ibid. cap. 75. Ἦσαν γὰρ ὕποπτοι αὐτοῖς οἱ Καμαριναῖοι, μὴ προθύμως σφίσι μήτ' ἐπὶ τὴν πρώτην μάχην πέμψαι, ἃ ἔπεμψαν· ἔς τε τὸ λοιπὸν, μὴ οὐκέτι βούλωνται ἀμύνειν—προσχωρῶσι δὲ αὐτοῖς. Duk.

τεῖν τοῦ ἐς τὰν Πειραιᾶ ἔσπλου, καὶ νῦν ἐς τοσοῦτον καταστήσονται μὴ βουλομένων σφίσι πάλιν τὴν πολιτείαν ἀποδοῦναι, ὥστε αὐτοὶ δυνατώτεροι εἶναι εἴργειν ἐκείνους τῆς θαλάσσης ἢ ὑπ' ἐκείνων εἴργεσθαι. βραχύ τέ τι εἶναι καὶ οὐδενὸς ἄξιον, ᾧ πρὸς τὸ περιγίγνεσθαι τῶν πολεμίων ἡ πόλις σφίσι χρήσιμος ἦν, καὶ οὐδὲν ἀπολωλεκέναι, οἵ γε μήτε ἀργύριον ἔτι εἶχον πέμπειν, ἀλλ' αὐτοὶ ἐπορίζοντο οἱ στρατιῶται, μήτε βούλευμα χρηστὸν, οὕπερ ἕνεκα πόλις στρατοπέδων κρατεῖ. ἀλλὰ καὶ ἐν τούτοις τοὺς μὲν ἡμαρτηκέναι, τοὺς πατρίους νόμους καταλύσαντας, αὐτοὶ δὲ σώζειν καὶ ἐκείνους πειράσεσθαι προσαναγκάζειν. ὥστε οὐδὲ τούτους, οἵπερ ἂν βουλεύσειέν τι

θαλάττης αὐτοὶ μᾶλλον, ἤπερ ὑπ' ἐκείνων εἴργεσθαι. 1. Ἐς τοσοῦτο καταστήσωνται] οἱ ἐν Ἀθήναις δηλονότι. 11. Προσαναγκάζειν] ἀπὸ κοινοῦ τὸ σώζειν. 12. Ὥστε οὐδὲ τούτους] τοῦτο δυνάμει τοιοῦτον ἐστίν· οὐ χρή τούτους, οἵτινες ἄν τι παρ' αὐτοῖς χρηστὸν βουλεύσωνται, χείρους ἐκείνων νομίζειν.

1. τὰν—ἔσπλουν c. τοὺς—ἔσπλους i.
τοιοῦτον B. τοσοῦτον A.H.Q. vulgo τοσοῦτο.
2. βουλομένων A.B.F.H.L.O. P.Q.k.
3. ὥστε] ὥστε καὶ f.
αὐτοὶ δυνατώτεροι B. ceteri αὐτοὶ καὶ δυνατώτεροι.
4. θαλάττης B.
ὑπ'] ἐπ' A.B.F.
τι om. K.
5. ᾧ A.B.F.H.Q.
7. γε] τε B.
εἶχον ἔτι B.
αὐτοὶ A.B.F.H.L.N.O.P.g.i. vulgo αὐτοῖς.
ἐπορίζοντο om. i.
8. βουλεύματι Q.
9. κρατεῖν g.
10. Τοὺς πατρίους νόμους] Plerique scripti πατρῴους. Utroque modo Noster. Vid. lib. IV. cap. 118. et Thom. Magistrum. Dinarch. c. Demosthen. p. 36. ed. Gruter. Ælian. 6, 10. Joseph. p. 722, 38. ed. Hudson. Ita MSS. Voss. 1. et Bodl. et bis 1040. et infra Busbequii codex, uti et 1056, 1089. Lycurgus adv. Leocratem p. 138. πατρῴων νομίμων. Wass. Lib. IV. cap. 118. princ. est, κατὰ τοὺς πατρίους νόμους, et paullo post, τοῖς πατρίοις νόμοις χρώμενοι· ubi quidam MSS. πατρῴοις, minus recte, si Grammaticis credimus. Aristoteles II. Politicor. 6. κινεῖν τοὺς πατρίους νόμους. Sic fere potius τὰ πάτριον, τὰ πάτρια, mores, instituta majorum, quam πατρῷα, et πατρῴα. Dux.
πατρῴους A.F.H.L.O.P.Q.f.g. i.k.
11. αὐτοὶ B. vulgo αὐτοὺς.
σώσειν c.e.
πειράσασθαι Q. πειρᾶσθαι i.
12. ὅπερ A.B.F.H.L.O.P.g.i.k.
τι] τε A.F.H.

χρηστὸν, παρὰ σφίσι χείρους εἶναι. Ἀλκιβιάδην τε, ἢν αὐτῷ ἄδειάν τε καὶ κάθοδον ποιήσωσιν, ἄσμενον τὴν παρὰ βασιλέως ξυμμαχίαν παρέξειν. τό τε μέγιστον, ἢν ἁπάντων σφάλλωνται, εἶναι αὐτοῖς τοσοῦτον ἔχουσι ναυτικὸν πολλὰς τὰς ἀποχωρήσεις, ἐν αἷς καὶ πόλεις καὶ γῆν εὑρήσουσι. * Τοιαῦτα ἐν ἀλλήλοις ἐκκλησιάσαντες καὶ παραθαρσύναντες σφᾶς αὐτοὺς, καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο οὐδὲν ἧσσον. οἱ δὲ ἀπὸ τῶν τετρακοσίων πεμφθέντες ἐς τὴν Σάμον, οἱ δέκα πρεσβευταὶ, ὡς ταῦτα ἐν τῇ Δήλῳ ἤδη ὄντες ἠσθάνοντο, ἡσύχαζον αὐτοῦ.

77. Hæc ubi resciverunt decem legati, Athenis missi, qui tum Deli erant, ibi remanserunt.

Ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ οἱ ἐν τῇ Μιλήτῳ τῶν Πελοποννησίων ἐν τῷ ναυτικῷ στρατιῶται κατὰ σφᾶς αὐτοὺς διεβόων ὡς ὑπὸ Ἀστυόχου καὶ Τισσαφέρνους

78. Sub idem tempus etiam Peloponnesii incusant et Astyochum, quod occasionem navalis prœlii commit-

13. Διεβόων] ἤγουν διάτορον ἐβόων.

1. εἶναι χείρους c.
δὲ K.
2. καὶ om. d.e.
ἄσμενος c. ἄσμενοι i.
3. ξυμμαχίαν] ξύμβασιν F.H.
4. σφάλωνται e.i.
6. καὶ om. i.
πόλιν L.O.P.i.
7. παραθαρρύναντες B.

Καὶ τὰ τοῦ πολέμου παρεσκευάζοντο] Non possum probare scripturam librorum, qui habent κατὰ τοῦ πολέμου. Nihil frequentius est Thucydidi, quam articulo neutrius generis cum genitivo substantivi pro quocumque alio casu nominis substantivi ut i. III. 82. Ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων; et ibid. τὰ μέσα τῶν πολιτῶν, pro αἱ πόλεις, et οἱ μέσοι πολῖται. VI. 29. Ἤδη γὰρ τὰ τῆς παρασκευῆς ἐπετήριστο. VI. 65. Ἐπεὶ δὲ ἕτοιμα αὐτοῖς καὶ τὰ τῆς παρασκευῆς ἦν, adparatus, vel, quæ ad adparatum pertinent. VII. 49. Ἐν ᾗ τὰ τῆς ἐμπειρίας χρήσιμα σφῶν ἔσται, id est, ἡ ἐμπειρία. VI. 86. Τὰ δὲ τοῦ πολέμου παρόντα ἤδη, καὶ οὐ μέλλοντα, pro ὁ πόλεμος. Ita et hoc loco: τὰ τοῦ πολέμου παρεσκευάζοντο, id est, τὸν πόλεμον. Sed infra cap. 82. Τὰ τοῦ πολέμου πρῶτον ἔφη πράξειν, τὰ τοῦ πολέμου non tam apte vertatur *bellum*, quam, *quæ ad bellum pertinent*. Vide Dionysium Halicarn. περὶ τοῦ Θουκυδίδου χαρακτῆρος cap. 29. et Stephanum in Append. ad Scripta al. de Dialect. pag. 178. Hæc ideo monenda duxi, quod vidi esse, quibus hic magis placeret κατὰ τοῦ πολέμου, quam καὶ τὰ τοῦ πολέμου. Dux.

τὰ] κατὰ A.F.H.M.b.c.
8. ἧττον B.
τριακοσίων O.
10. ἤδη ὄντες] om. P. ὄντες K. ἰδόντες e.
αὐτοῦ accessit ex A.B.F.H. Q.i.
13. ὑπό τε ἀστυόχου B. ἀπὸ

φθείρεται τὰ πράγματα, τοῦ μὲν οὐκ ἐθέλοντος οὔτε πρότερον ναυμαχεῖν, ἕως ἔτι αὐτοί τε ἔῤῥωντο μᾶλλον καὶ τὸ ναυτικὸν τῶν Ἀθηναίων ὀλίγον ἦν, οὔτε νῦν, ὅτε στασιάζειν τε λέγονται καὶ αἱ νῆες αὐτῶν οὐδέπω ἐν τῷ αὐτῷ εἰσὶν, ἀλλὰ τὰς παρὰ Τισσαφέρνους Φοινίσσας ναῦς μένοντες, ἄλλως ὄνομα καὶ οὐκ ἔργον, κινδυνεύσειν διατριβῆναι·

tendi opportunam neglexerit, et Tissaphernem, quod naves Phœnisses non adducat, et stipendia neque continua, neque integra pendat.

1. Τοῦ μὲν] τοῦ Ἀστυόχου. 4. Οὐδέπω ἐν τῷ αὐτῷ εἰσὶν] ἤγων οὐχ ὁμονοοῦσι. 6. Διατριβῆναι] διαφθαρῆναι.

ἀστυόχου ἀλλὰ καὶ ταῖς παρὰ τισσαφέρνους i.

1. φθείρονται P.

πρότερον] προθυμότερον K. προτιμότερον e.

Cap. 76. καὶ πρότερον, καὶ νῦν. Dux.

3. ὀλίγον om. A.

ὅτε] οὔτε g.

τε om. L.

5. τὰς om. L.O.P.

6. κινδυνεύσειν A.B.F.H.L.O. d.f.g.i.

Ὄνομα, καὶ οὐκ ἔργον, κινδυνεύειν διατριβῆναι] Hic Valla conjunxit ὄνομα, καὶ οὐκ ἔργον, κινδυνεύειν, et, quasi κινδυνεύειν pro εἰς τὸ κινδυνεύειν positum esset, vertit *nomine, non re, periculum certaminis subituras*; διατριβῆναι autem, *tempus terat*, interpretatus est. Et sic etiam Acacius hæc accepit. Verum, si ita vertatur διατριβῆναι, non habebit, unde pendeat, aut quo pertineat nominativus μένοντες. Quapropter mihi Portus, ducente eo Scholiasta, qui διατριβῆναι exponit διαφθαρῆναι, rectius videtur conjunxisse κινδυνεύειν διατριβῆναι, et ab his præcedentia illa ὄνομα καὶ οὐκ ἔργον separasse. In quibus, si distinctio post ἔργον ponatur, hæc erit sententia; Peloponnesios clamasse, periculum esse, ne ipsi frustra exspectando naves Phœnicum, ὄνομα, καὶ οὐκ ἔργον, οὖσας, (vel ἐχούσας, ut Euripides Orest. v. 454. Ὄνομα γὰρ, ἔργον δ' οὐκ, ἔχουσιν οἱ φίλοι·) i. e. nomen sine re, paullatim adtererentur. Qua significatione verbo διατρίβειν etiam infra cap. 87. utitur: Ἵνα διατρίβῃ, ἀπελθὼν, ὥσπερ καὶ διενήθη, τὰ τῶν Πελοποννησίων. Nam Henr. Stephanus in Thes. scribens, apud Thucydidem lib. VIII. legi ναῦς διατριβῆναι pro διαφθαρῆναι, sine dubio aliud egit, nec recte locum inspexit. Ceterum, structura orationis toto hoc Capite satis implicita est, ita, ut propemodum haberi possit pro exemplo eorum, quæ Dionysius Halicarn. in Thucydide σκολιὰ, καὶ δυσπαρακολούθητα esse, καὶ σχηματισμῶν πλακὰς σολοικοφανεῖς habere, dicit. Nam primum hæc, ναῦς μένοντες, quum non alio referri possint, quam ad διεβίων, quod in princip. cap. est, ab eo, interpositis illis de Astyocho, longo intervallo separantur; quod orationem non parum obscuram reddit. Deinde, quum in priore membro posuisset τοῦ μὲν οὐκ ἐθέλοντος, usitati sermonis ratio, quod bene animadvertit Portus, postulabat, ut itidem in posteriore diceret, τοῦ δ' αὖ Τισσαφέρνους τάς τε ναῦς ταύτας οὐ κομίζοντος, καὶ

τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς ταύτας οὐ κομίζειν, καὶ τροφὴν ὅτι οὐ ζυνεχῶς οὐδ' ἐντελῆ διδοὺς κακοῖ τὸ ναυτικόν. οὔκουν ἔφασαν χρῆναι μέλλειν ἔτι, ἀλλὰ διαναυμαχεῖν. καὶ μάλιστα οἱ Συρακόσιοι ἐπῆγον. * αἰσθόμενοι δὲ οἱ ζύμμαχοι καὶ ὁ Ἀστύοχος τὸν θορῦν, καὶ δόξαν αὐτοῖς ἀπὸ ζυνόδου ὥστε διαναυμαχεῖν, ἐπειδὴ καὶ ἐσηγγέλλετο αὐτοῖς ἡ ἐν τῇ Σάμῳ ταραχή, ἄραντες ταῖς ναυσὶ πάσαις, οὔσαις δώδεκα καὶ ἑκατόν, καὶ τοὺς Μιλησίους πεζῇ κελεύσαντες ἐπὶ τῆς Μυκάλης παριέναι, ἔπλεον ὡς πρὸς τὴν Μυκάλην. οἱ δὲ Ἀθηναῖοι ταῖς ἐκ Σάμου ναυσὶ δυοῖν καὶ ὀγδοήκοντα, αἳ ἔτυχον ἐν Γλαύκῃ τῆς Μυκάλης ὁρμοῦσαι (διέχει δὲ ὀλίγον ταύτῃ ἡ Σάμος τῆς ἠπείρου πρὸς τὴν Μυκάλην), ὡς εἶδον τὰς τῶν Πελοποννησίων ναῦς ἐπιπλεούσας, ὑπεχώρησαν ἐς τὴν Σάμον, οὐ νομίσαντες τῷ πλήθει διακινδυνεῦσαι περὶ τοῦ παντὸς

79. Itaque cum Astyocho visum esset pugnam committere, cum tota classe, quæ erat centum duodecim navium, versus Mycalen, quod promontorium non longe abest a Samo, profectus est, eodemque pedestri itinere Milesios aliosque ire jussit. Athenienses autem, adventum ejus cum prævidissent,

2. Κακοῖ τὸ ναυτικόν] ἤγουν εἰς κακοπάθειαν ἐμβάλλει. 6. Ἀπὸ ζυνόδου] ἤγουν ἀπὸ ὁμονοίας.

διὰ τὸ τὴν τροφὴν οὐ συνεχῶς, οὐδ' ἐντελῆ διδόναι, τὸ ναυτικὸν κακοῦντος. Non dissimile ἀκατάλληλον, præcedente genitivo, quem absolutum vocant, est in iis, quæ VII. 47. leguntur: Νόσῳ τε γὰρ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης, ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα, καὶ τὸ χωρίον ἅμα, ἐν ᾧ ἐστρατοπεδεύοντο, ἑλῶδες καὶ χαλεπὸν ἦν· pro, τοῦ χωρίου ἑλώδους καὶ χαλεποῦ ὄντος. Duk.

2. συνεχῶς K.
3. μὴ μέλλειν B.
4. ναυμαχεῖν B.
7. ἐσήγγελτο F. ἐξηγγέλλετο g.
9. πεζῇ om. i.
10. ὡς πρὸς B.L.O.Q.f.g.i.k. ἐς πρὸς H. vulgo πρός.
11. αἳ om. γρ. B.
γλαύκες B.
Γλαύκῃ] Recte addit τῆς Μυκάλης, est enim et κόλπος Γλαῦκος καλούμενος prope Artemisium, et Symen etiam Cariæ *Glaucum* dictam narrat Athenæus. De hoc oppido non videor alibi legisse. Wass.
12. ὁρμοῦντες γρ. B.
ταύτης Q. αὕτη γρ. B.
13. πρὸς] ἐς i.
ὡς] καὶ ὡς A.F.H.K.L.N. O.P.b.c.d.e.f.i.k. et γρ. B.
14. προσεπιπλεούσας A.F.H.f. προσπλεούσας B.
ἀπεχώρησαν H.i. ἐπεχώρησαν Q. ἐχώρησαν N.
15. τῷ πλήθει om. c.
τοῦ om. Q.

ἱκανοὶ εἶναι. καὶ ἅμα (προῄσθοντο γὰρ αὐτοὺς ἐκ τῆς Μιλήτου ναυμαχησείοντας) προσεδέχοντο καὶ τὸν Στρομβιχίδην ἐκ τοῦ Ἑλλησπόντου σφίσι ταῖς ἐκ τῆς Χίου ναυσὶν ἐπ' Ἀβύδου ἀφικομέναις προσβοηθήσειν. προὐπέπεμπτο γὰρ αὐτῷ ἄγγελος. καὶ οἱ μὲν οὕτως ἐπὶ τῆς Σάμου ἀνεχώρησαν· οἱ δὲ Πελοποννήσιοι καταπλεύσαντες ἐπὶ Μυκάλης ἐστρατοπεδεύσαντο, καὶ τῶν Μιλησίων καὶ τῶν πλησιοχώρων ὁ πεζός. καὶ τῇ ὑστεραίᾳ μελλόντων αὐτῶν ἐπιπλεῖν τῇ Σάμῳ, ἀγγέλλεται ὁ Στρομβιχίδης ταῖς ἀπὸ τοῦ Ἑλλησπόντου ναυσὶν ἀφιγμένος· καὶ εὐθὺς ἀπέπλεον πάλιν ἐπὶ τῆς Μιλήτου. οἱ δὲ Ἀθηναῖοι προσγενομένων σφίσι τῶν νεῶν ἐπίπλουν αὐτοὶ ποιοῦνται τῇ Μιλήτῳ ναυσὶν ὀκτὼ καὶ ἑκατὸν, βουλόμενοι διαναυμαχῆσαι· καὶ ὡς οὐδεὶς αὐτοῖς ἀντανήγετο, ἀπέπλευσαν πάλιν ἐς τὴν Σάμον.

Strombichidamque ex Hellesponto, nuntio arcessitum, cum navibus exspectarent, a Mycale Samum se receperunt, pugnam detrectantes. Et postridie Strombichides adest, Peloponnesii vero confestim Miletum revertuntur, neque cum Atheniensibus ibi confligere audent.

80. Ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τοῦτο εὐθὺς οἱ Πελοποννήσιοι, ἐπειδὴ ἀθρόαις ταῖς ναυσὶν οὐκ ἀξιόμαχοι νομίσαντες εἶναι οὐκ ἀντανήγοντο, ἀπορήσαντες ὁπόθεν τοσαύταις ναυσὶ χρήματα ἕξουσιν, ἄλλως τε καὶ Τισσαφέρνους κα-

Paullo post Clearchus cum quadraginta navibus ad Pharnabazum missus, ac tempes-

19. Κακῶς διδόντος] σὺν κακώσει.

1. αὐτοῖς A.F.H.
2. ναυμαχήσοντας K.
προσεδέχοντο δὲ καὶ F.H.L.O.f. g.i.k.
4. ναυσὶ ταῖς ἐπ' N.
De hac expeditione Strombichidis vid. cap. 62. Ἐπ' Ἄβυδον cum quibusdam MSS. legas, an vulgatam scripturam retineas, perinde est; nam utrumque recte dicitur. Vel hoc ipso Capité plus semel cum genitivo, eadem significatione, et alibi sæpissime. Duk.
ἄβυδον F.H.N.
βοηθήσειν L.
προὐπέμπετο L.O.g.k. vulgo προὔπεμπτο.
6. ἀπεχώρησαν B.L.O.P.g.
πλεύσαντες A.B.F.c.e.g.i.k.
7. ἐπὶ τῆς μυκάλης B.
ἐστρατοπεδεύσαντο A.B.F.H. Q.i. vulgo ἐστρατοπεδεύοντο.
9. ἀποπλεῖν A.
ἀγάλλεται Q. καὶ ἀγγέλλεται d.
11. ἐπίπλεον L.
12. αὐτὸ B.
13. ναυμαχῆσαι B.
17. ἀθρόοις A.F.H.
19. χρήματά τε ἕξουσιν L.O. P.g.

tate Delum cum plerisque navibus abreptus, Miletum revertitur, et denuo inde terra iter in Hellespontum facit, quo cæteræ ejus naves ex illa tempestate devenerant, ibique Byzantium ad defectionem perduxerant. Quare permoti Athenienses præsidium in Hellespontum mittunt.

κῶς διδόντος, ἀποστέλλουσιν ὡς τὸν Φαρνάβαζον, ὥσπερ καὶ τὸ πρῶτον ἐκ τῆς Πελοποννήσου προσετάχθη, Κλέαρχον τὸν Ῥαμφίου ἔχοντα ναῦς τεσσαράκοντα. ἐπεκαλεῖτό τε γὰρ αὐτοὺς ὁ Φαρνάβαζος, καὶ τροφὴν ἑτοῖμος ἦν παρέχειν· καὶ ἅμα καὶ τὸ Βυζάντιον ἐπεκηρυκεύετο αὐ- 5 τοῖς ἀποστῆναι. καὶ αἱ μὲν τῶν Πελοποννησίων αὗται νῆες ἀπάρασαι ἐς τὸ πέλαγος, ὅπως λάθοιεν ἐν τῷ πλῷ τοὺς Ἀθηναίους, χειμασθεῖσαι, καὶ αἱ μὲν Δήλου λαβόμεναι αἱ πλείους μετὰ Κλεάρχου, καὶ ὕστερον πάλιν ἐλθοῦσαι ἐς Μίλητον (Κλέαρχος δὲ κατὰ γῆν αὖθις ἐς 10 τὸν Ἑλλήσποντον κομισθεὶς ἦρχεν), αἱ δὲ μετὰ Ἐλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα ἐς τὸν Ἑλλήσποντον διασωθεῖσαι Βυζάντιον ἀφιστᾶσι. καὶ μετὰ ταῦτα οἱ ἐκ τῆς Σάμου πέμπουσιν αἰσθόμενοι νεῶν βοήθειαν καὶ φυλακὴν ἐς τὸν Ἑλλήσποντον, καί τις καὶ ναυμαχία βραχεῖα 15 γίγνεται πρὸ τοῦ Βυζαντίου, ναυσὶν ὀκτὼ πρὸς ὀκτώ.

81. Interim Thrasybulus ex decreto exer-

Οἱ δὲ προεστῶτες ἐν τῇ Σάμῳ, καὶ μάλιστα Θρασύβουλος, ἀεί τε τῆς αὐτοῦ γνώμης ἐχόμενος, ἐπειδὴ μετέστησε τὰ πράγματα, ὥστε κατάγειν Ἀλκιβιάδην, καὶ

5. Καὶ ἅμα καὶ τὸ Βυζάντιον] ὑπερβατόν. τὸ δὲ ἑξῆς οὕτω· καὶ αἱ μὲν πλείους Δήλου λαβόμεναι μετὰ Κλεάρχου, καὶ ὕστερον πάλιν ἐλθοῦσαι ἐς Μίλητον· αἱ δὲ μετὰ Ἐλίξου τοῦ Μεγαρέως στρατηγοῦ δέκα εἰς τὸν Ἑλλήσποντον διασωθεῖσαι, Βυζάντιον ἀφιστᾶσι. 8. Χειμασθεῖσαι] ἤγουν ταραχθεῖσαι ὑπὸ χειμῶνος. 19. Καὶ τέλος ἀπ' ἐκκλησίας] ἤτοι ἐν ἐκκλη-

1. διδόντας c.
ὅστερ B.
3. ῥόμφιον c.
τετταράκοντα B. qui mox dedit τε.
4. ὁ om. c.
7. ἐπάρασαι d.
παράπλῳ N.
9. αἱ δὲ πλείους A.B.F.H.L.O. P.Q.f.g.
11. ἐλίξου K.L. O. τοῦ ἐλίξου d.i.
15. καί τις ναυμαχία Q.d.e.i.
16. πρὸ τοῦ βυζαντίου om. c.i.
18. ἀεί τε τῆς] τε τῆς k. καὶ ἀεὶ τῆς K.N. καὶ ἀεί τε τῆς A. καὶ εἴτε τις τῆς F.L.O.P.g. τε καὶ ἀεὶ τῆς f.
αὐτῆς B.
19. ὡς d.
καταγαγεῖν τὸν ἀλκιβιάδην B.

τέλος ἐπ' ἐκκλησίας ἔπεισε τὸ πλῆθος τῶν στρατιωτῶν, καὶ ψηφισαμένων αὐτῶν Ἀλκιβιάδῃ κάθοδον καὶ ἄδειαν, πλεύσας ὡς τὸν Τισσαφέρνη κατῆγεν ἐς τὴν Σάμον τὸν Ἀλκιβιάδην, νομίζων μόνην σωτηρίαν, εἰ Τισσαφέρνην αὐτοῖς μεταστήσειεν ἀπὸ Πελοποννησίων. γενομένης δὲ ἐκκλησίας τήν τε ἰδίαν ξυμφορὰν τῆς φυγῆς ἐπητιάσατο καὶ ἀνωλοφύρατο ὁ Ἀλκιβιάδης, καὶ περὶ πολιτικῶν πολλὰ εἰπὼν ἐς ἐλπίδας γε αὐτοὺς οὐ σμικρὰς τῶν τε μελλόντων καθίστη, καὶ ὑπερβάλλων ἐμεγάλυνε τὴν ἑαυτοῦ δύναμιν παρὰ τῷ Τισσαφέρνει, ἵνα οἵ τε οἴκοι τὴν ὀλιγαρχίαν ἔχοντες φοβοῖντο αὐτὸν καὶ μᾶλ-

citus Alcibiadem a Tissapherne Samum deducit. Qui quidem in concione Atheniensium constitutus, deplorata ipsius fortuna, orationem habet non minus ad sui admirationem, quam ad spem militum augendam compositam.

σίᾳ, καὶ οὐκ ἄλλως ἢ ἐν μιᾷ ἐκκλησίᾳ. 6. Τήν τε ἰδίαν ξυμφορὰν τῆς φυγῆς ἐπητιάσατο] ἤγων ἐπητιάσατο τοὺς Ἀθηναίους περὶ τῆς ἰδίας ξυμφορᾶς τῆς κατὰ τὴν φυγήν. 7. Ἀνωλοφύρατο] ἤγων τὰ ἑαυτοῦ πάθη μετὰ ὀλοφυρμοῦ διηγήσατο.

1. ἐπ' A.B.F.H.K.L.O.d.f.g. i.k. vulgo ἀπ'.

Ἀπ' ἐκκλησίας] Plerique MSS. ἐπ' ἐκκλησίας, id est, ἐν ἐκκλησίᾳ. Sed ἀπ' ἐκκλησίας videtur ita dici posse, ut cap. 79. καὶ δίξαν αὐτοῖς ἀπὸ ξυνίδου, ὥστε διαναυμαχεῖν. Duk.

ἔπεισαν A.B.F.H.

2. ψηφισάντων O.

3. ὡς] ἐς Q.c.

τισσαφέρνη A.F.H. ceteri τισσαφέρνῃ.

ἐς] ὡς N.

5. ἀπὸ τῶν πελοποννησίων c.

6. δὲ om. A.F.

7. ἐπητιάσατο A.F.H.L.O.P. Q.e.f.g.k. et qui postponit illa τῆς φυγῆς, B. ᾐτιάσατο d.i. vulgo ἐπητίασε. Conf. 5, 16. et 6, 28.

ἀνωλοφόρετο g.

περὶ πολιτικῶν A.F.H.K.N.b.c. vulgo περὶ τῶν πολιτικῶν.

8. Ἐς ἐλπίδας] Ita MSS. et plurative supra. Firmat Hippocrates Prænot. p. 11. ἔμενον ἔσεσθαι πολλαὶ ἘΛΠΙΔΕΣ. v. Indicem. De Thrasylli Commento ad Byzantium adi Polyænum I, 47. Wass. Cur Stephanus paullo post voluerit infercire περὶ, quod et ab exemplaribus MSS. et a vett. Edd. abest, non scio. Thucydides VII. 77. Ἐλπὶς θαρσεῖα τοῦ μέλλοντος. Cap. seq. Τὴν ἐλπίδα τῆς σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας. Lucianus Tyrannicid. pag. 694. Οὐ τῶν παρόντων ἀπαλλάξας ὑμᾶς μόνον, ἀλλὰ καὶ τῆς τῶν μελλόντων κακῶν ἐλπίδος. Duk.

γε om. B. post αὐτοὺς ponit K.

σμικρὰς B. ceteri μικράς.

9. ante τῶν omisi περὶ cum A.B.F.H.K.L.N.O.P.c.d.e.f.g. i.k.

τε accessit ex B.

καθίστησι Q.

10. αὐτοῦ B.

τῷ om. Q.

τισσαφέρνῃ F.

λον αἱ ξυνωμοσίαι διελυθεῖεν, καὶ οἱ ἐν τῇ Σάμῳ τιμιώτερόν τε αὐτὸν ἄγοιεν καὶ αὐτοὶ ἐπὶ πλεῖον θαρσοῖεν, οἵ τε πολέμιοι τῷ Τισσαφέρνει ὡς μάλιστα διαβάλλοιντο καὶ ἀπὸ τῶν ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν. ὑπισχνεῖτο δ' οὖν τάδε μέγιστα ἐπικομπῶν ὁ Ἀλκιβιάδης, ὡς Τισσα- 5 φέρνης αὐτῷ ὑπεδέξατο ἢ μὴν, ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιστεύσῃ, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς, οὐδ' ἢν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρίσαι, τάς τε ἐν Ἀσπένδῳ ἤδη οὔσας Φοινίκων ναῦς κομι-

1. Καὶ οἱ ἐν τῇ Σάμῳ] ἤγουν οἱ Πελοποννήσιοι. 3. Διαβάλλοιντο] ὑβρίζοιντο. 5. Ἐπικομπῶν] ἤγουν κομπωδῶς λέγων. 6. Ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται] μέχρις ἂν ἐξαρκῇ τὰ Τισσαφέρνους. Τῶν ἑαυτοῦ] Τισσαφέρνους δηλαδή. 7. Ἢν Ἀθηναίοις πιστεύσῃ] ὁ Τισσαφέρνης δηλονότι, πιστεύσῃ τοὺς Ἀθηναίους. 8. Ἐξαργυρίσαι] ἤγουν ἀργυρίου πωλῆσαι.

1. ξυνωμοσίαι F.H.
2. τε om. L.O.P.k.
ἐπὶ πλέον B.
θαρροῖεν B.
3. πολέμιοι] πελοποννήσιοι L.
4. ἀπὸ dederunt A.B.F.H.Q.
δ' om. K.
5. τάδε] τὰ K.
μέγιστα] μάλιστα d.i.
ἐπικομπεῖν A.B.F.
τισσαφέρνει καὶ αὐτῷ i.
6. Ὑπεδέξατο] Eadem significatio hujus vocis est II. 29. et 95. Vid. Thom. Magistrum in ὑφίσταμαι. Duk.
αὐτοῦ B.
λίπηται A.
7. πιστεύσῃ B. vulgo πιστεύῃ.
ἀπορήσῃ A.
αὐτὸς A. αὐτοῦ e.
8. ἂν Thom. M. v. χρηματίζω.
τελευτῶντα om. g.
αὐτοῦ Thomas M.
ἐξαργυρίσαι A.F.f. cum Thoma. ἐξαργυριῶσαι B. ἐξαργυρῶσαι ceteri cum Suida, Etym. M. Schol. Demosthen. de pace p. 59, 5. Reisk. Conf. Hemst. ad Xenophont. Ephes. p. 55, 8.
Ἐξαργυρίσαι] Ἐξαργυρῶσαι Marg. Cam. Græv. Etymologus, Suidas h. v. qui addit, οὐκ ἐξαργυρίσαι. Utraque forma Josephus B. Jud. I. 15. I. 26. ἀργυρίζω Demosthenes, et ἐξαργυρίζω, ἀπαργυρίζω Themist. ἀπαργυρόω quandoque *de argento*, ut in Plutarchi Philopœm. p. 361. ubi cum MS. A. κολούσαντας, *amputantes*, pro κυλίσαντας legendum. ἐπαργυρίω sensu Thucydideo utitur Artemidorus: ἐξαργυρίω apud Herodotum, quem lubenter auctorem Noster habet, invenitur VI. 86.
1. Τὰ ἡμίσεα πάσης τῆς οὐσίας ἐξαργυρώσαντα. Thom. Magister: οὐδ' ἂν δ.—ἐξαργυρίσαι. Wass. Ita Thomas in χρηματίζω, et αὐτοῦ pro ἑαυτοῦ. Ἐξαργυρίζειν dicit Demosthenes in Orat. de Pace pag. 40. Ἢν ἐνθάδε ἐκέκτητο οὐσίαν φανεράν, ταύτην ἐξαργυρίσας. Ubi Scholiastes adnotat: διαπράσας. σημείωσαι, παρὰ Θουκυδίδῃ ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι, quas vel Suidas illi, vel ille

εἶν Ἀθηναίοις καὶ οὐ Πελοποννησίοις· πιστεῦσαι δ' ἂν μόνως Ἀθηναίοις, εἰ αὐτὸς κατελθὼν αὐτῷ ἀναδέξαιτο. * οἱ δὲ ἀκούσαντες ταῦτά τε καὶ ἄλλα πολλὰ στρατηγόν τε αὐτὸν εὐθὺς εἵλοντο μετὰ τῶν πρότερον, καὶ τὰ πράγ-
5 ματα πάντα ἀνετίθεσαν, τήν τε παραυτίκα ἐλπίδα ἕκαστος τῆς τε σωτηρίας καὶ τῆς τῶν τετρακοσίων τιμωρίας οὐδενὸς ἂν ἠλλάξαντο· καὶ ἑτοῖμοι ἤδη ἦσαν κατὰ τὸ αὐτίκα τούς τε παρόντας πολεμίους ἐκ τῶν λεχθέντων καταφρονεῖν, πλεῖν τε ἐπὶ τὸν Πειραῖα. ὁ δὲ τὸ μὲν ἐπὶ τὸν Πει-
10 ραιᾶ πλεῖν, τοὺς ἐγγυτέρω πολεμίους ὑπολιπόντας, καὶ πάνυ διεκώλυσε, πολλῶν ἐπειγομένων· τὰ δὲ τοῦ πολέμου πρῶτον ἔφη, ἐπειδὴ καὶ στρατηγὸς ἥρητο, πλεύσας ὡς Τισσαφέρνην πράξειν. καὶ ἀπὸ ταύτης τῆς ἐκκλησίας εὐθὺς ᾤχετο, ἵνα δοξῇ πάντα μετ' ἐκείνου κοινοῦσθαι, καὶ
15 ἅμα βουλόμενος αὐτῷ τιμιώτερός τε εἶναι, καὶ ἐνδείκνυσθαι ὅτι καὶ στρατηγὸς ἤδη ἥρηται καὶ εὖ καὶ κακῶς

82. Qua audita, statim ab exercitu præfectus creatur. Et tantus eo tempore ardor omnes invasit, ut neque de sua salute, neque de quadringentorum ultione desperarent, et vel adversus Piræeum proficisci parati essent. Alcibiades autem animos feroces delinivit periculi ab hoste propinquo instantis commemoratione, et ipse statim ad Tissaphernem profectus est, partim ut omnia cum illo communica-

2. Εἰ αὐτὸς κατελθὼν] ἤγων ἀνασωθεὶς Ἀλκιβιάδης ὀπίσω ἀνάδοχος γένοιτο. 14. Ἐκείνου] τοῦ Τισσαφέρνους.

Suidæ, debet. Parthenius Nic. cap. 8. Ἐξηγωνίσατο μέρος τῶν ὑπαγμάτων. Duk.

2. μόνων f.g.

εἰ ὡς αὐτὸς A.F.H. εἰ ὡς αὐτοὺς B. εἰ σῶς αὐτὸς L.O.P.Q. k. εἰ σῶς αὐτῷ g. εἰδὼς αὐτὸς f.

Εἰ αὐτὸς κατελθὼν] In nonnullis, εἰ σῶς αὐτός. Sed annon mali ominis? Ita Noster alibi. Wass.

αὐτοῖς A.B.F.L.O.P.Q.

ἀναδέξατο A.F. ἂν δέξαιτο H.

Ἀναδέξαιτο] Herodotum ἀναδέχομαι pro ὑπισχνοῦμαι dicere, adnotat Thom. Magister in ὑφίσταμαι. Sed ἀποδέχεσθαι sæpe plus est, quam simpliciter promittere, et de eo dicitur, qui pro alio spondet ac fidejubet. Adi Budæi Commentar. Ling. Græc. et Casaubonum ad Theophrast. Charact. cap. 12. Duk.

3. ἀκούσαντες A.F.H.L.O.Q. b.d.f.g.i.k.

4. αὐτὸν om. d. post εὐθὺς ponit Q.

5. πάντα om. Q.

ἀνετίθεσαν d.i.

τε om. K. τῆς om. e.

7. ἂν ἠλλάξαντο K. ἀνηλλάξαντο c.

κατὰ] διὰ B.K.d e.i.k.

8. τούς τε] τότε K.

10. πλεῖν τε] καὶ πλεῖν B.

ὑπολείποντας F.H.K. ἀπολείποντας d.i.

12. πρῶτα d.i.

καὶ om. d.i.

εἴρηται B. εἴρητο A.F.i.

14. ἵνα δὲ δοκῇ A.F.H.f.

15. τε om. K.c.g.

16. ἤδη om. L.O.b.c.d.e.i.k.

καλῶς e.

πλοῦν, ὡς οὐκ ἠθέλησαν ἀνταναγαγόντες ναυμαχῆσαι, πολλῷ ἐς τὴν μισθοδοσίαν τὸν Τισσαφέρνην ἀῤῥωστότερον γενόμενον, καὶ ἐς τὸ μισεῖσθαι ὑπ' αὐτῶν πρότερον ἔτι τούτων διὰ τὸν Ἀλκιβιάδην ἐπιδεδωκέναι. καὶ ξυνιστάμενοι πρὸς ἀλλήλους, οἷάπερ καὶ πρότερον, οἱ στρατιῶται ἀνελογίζοντο, καί τινες καὶ τῶν ἄλλων τῶν ἀξίων λόγου ἀνθρώπων, καὶ οὐ μόνον τὸ στρατιωτικὸν, ὡς οὔτε μισθὸν ἐντελῆ πώποτε λάβοιεν, τό τε διδόμενον βραχὺ, καὶ οὐδὲ τοῦτο ξυνεχῶς· καὶ εἰ μή τις ἢ διαναυμαχήσει ἢ ἀπαλλάξεται ὅθεν τροφὴν ἕξει, ἀπολείψειν τοὺς ἀνθρώπους τὰς ναῦς· πάντων τε Ἀστύοχον εἶναι αἴτιον, ἐπιφέροντα ὀργὰς Τισσαφέρνει διὰ ἴδια κέρδη. * ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ, ξυνηνέχθη καὶ τοιόσδε τις θόρυβος περὶ τὸν Ἀστύοχον. τῶν γὰρ Συρακοσίων καὶ Θουρίων ὅσῳ μάλιστα καὶ ἐλεύθεροι ἦσαν τὸ πλῆθος οἱ ναῦται, τοσούτῳ καὶ θρασύτατα

pherni erant infensi; neque milites soli, sed etiam qui ampliore dignitate erant, de stipendio male prabito conquesti, Astyochum incusabant, qui sui commodi causa Tissapherni morem gereret.

84. Accidit etiam, ut nautæ, confidentius ab

6. Καί τινες τῶν ἄλλων τῶν ἀξίων λόγου ἀνθρώπων] ἀπὸ κοινοῦ τὸ ἀνελογίζοντο, οὐ μόνοι στρατιῶται· ἀνελογίζοντο δὲ τὰ ἐπιφερόμενα. 9. Ἢ ἀπαλλάξεται ὅθεν] ἤγουν ἀποστήσεται εἰς τέκνα ἴδιον. 11. Ἐπιφέροντα ὀργὰς] τὸ ἐπιφέρειν ὀργὴν ἐπὶ τοῦ χαρίζεσθαι καὶ συγχωρεῖν ἔτατταν οἱ ἀρχαῖοι. μάρτυς Κρατῖνος ἐν Χείρωνι, λέγων τὴν μουσικὴν ἀκορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σάφροσι.

παννησίων, sive, οἱ Πελοποννήσιοι ἐπιδεδώκασιν εἰς τὸ μισεῖσθαι ὑπ' αὐτῶν τὸν Τισσαφέρνην, utrumque videtur esse insolens genus loquendi. Duk.

1. πλεῖν d.i.
ἀνταναγόντες k.
3. μιμεῖσθαι b.
ἔτι] εἰ ἔτι A.B.F.H. ἐσέτι f. εἰσέτι L.O.Q.g.i.k. om. d.
τούτων d.f. τότε aliquis Paris.
4. πρὸς] κατ' B.
6. Καί τινες καὶ] Ita compluribus locis Thucydides. Vide ad IV. 121. Idem placebat Wassio, qui adnotarat. Cap. 80. fine. Duk.
alteram καὶ dederunt A.B.F. H.N.
τῶν om. d.i.f.
ἀξιολόγων A.B.F.H.Q.f.
9. ἢ διαναυμαχήσει] ἰδίᾳ ναυμαχήσει A.B.F. διαναυμαχήσει H.
ἀπαλλάξει k.
10. ἕξειν A.F.H.d. ἕξοι B.
11. τισσαφέρνην F.
12. Ὄντων—ἀναλογισμῷ] Th. Magister in ἀναλογ. Wass.
διαλογισμῷ e.
13. καὶ] τι καὶ e.f.
τοιοῦτος g.
14. γὰρ] δὲ B. om. L.O. P.g.
ἐλεύθερον d.i.k.
15. θρασύτατοι L.O.Q. θρασύτητι d.

Astyocho stipendium flagitantes, cum ille arrogantius responderet et vel scipionem tolleret, impetu in eum magna cum vociferatione facto, tela conjicerent; quo ex tumultu Astyochus ad aram quandam fugiens aegre evasit. Et Milesii castellum, quod Mileti Tissaphernes habebat, capiunt, non invitis Peloponnesiis, Licha excepto, qui ideo in Milesiorum odia incurrebat.

προσπεσόντες τὸν μισθὸν ἀπῄτουν. ὁ δὲ αὐθαδέστερόν τέ τι ἀπεκρίνατο καὶ ἠπείλησε, καὶ τῷ γε Δωριεῖ ζυναγορεύοντι τοῖς ἑαυτοῦ ναύταις καὶ ἐπανήρατο τὴν βακτηρίαν. τὸ δὲ πλῆθος τῶν στρατιωτῶν, ὡς εἶδον, οἷα δὴ ναῦται, ὥρμησαν ἐγκραγόντες ἐπὶ τὸν Ἀστύοχον ὥστε βάλλειν· ὁ δὲ προϊδὼν καταφεύγει ἐπὶ βωμόν τινα. οὐ μέντοι ἐβλήθη γε, ἀλλὰ διελύθησαν ἀπ' ἀλλήλων. ἔλαβον δὲ καὶ τὸ ἐν Μιλήτῳ ἐνῳκοδομημένον τοῦ Τισσαφέρνους φρούριον οἱ Μιλήσιοι, λάθρα ἐπιπεσόντες, καὶ τοὺς ἐνόντας φύλακας αὐτοῦ ἐκβάλλουσι. ζυνεδόκει δὲ καὶ τοῖς ἄλλοις ζυμμάχοις ταῦτα, καὶ οὐχ ἥκιστα τοῖς Συρακοσίοις. ὁ μέντοι Λίχας οὔτε ἠρέσκετο αὐτοῖς, ἔφη τε χρῆναι Τισσαφέρνει καὶ δουλεύειν Μιλησίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ βασιλέως τὰ μέτρια καὶ ἐπιθεραπεύειν, ἕως ἂν τὸν πόλεμον εὖ θῶνται. οἱ δὲ Μιλήσιοι ὠργίζοντό τε αὐτῷ, καὶ διὰ ταῦτα καὶ ἄλλα τοιουτότροπα, καὶ νόσῳ ὕστε-

2. Καὶ τῷ γε Δωριεῖ] τῷ Ἑρμοκράτει. 3. Καὶ ἐπανήρατο τὴν βακτηρίαν] ἀντὶ τοῦ ἐπανετείνατο ὡς πλήξων. 5. Ἐγκραγόντες] ἤγουν μετὰ μεγάλης

1. τέ τι] δ' ἔτι d.

